ματι ἡ ἐξουσία δὲν παραμένει σταθερὰ ποτὲ στὰ ἴδια χέρια — βρίσκουν ὅμως σωστὸ νὰ ἔχουν τὴν ἡγεμονία, σὰν ὁποιοδήποτε ἄλλο προνόμιο, αὐτοὶ ποὺ πρῶτοι τὴν ἀπόχτησαν ἢ ὅσοι πρόσφεραν τὰ μεγαλύτερα ἀγαθὰ στὸ Πανελλήνιο, καὶ αὐτοί, νομίζω, συμφωνοῦν μαζί μου. Ὅσο πιὸ πίσω μὲς στὸ χρόνο ἀναζητήσουμε τὶς 23
ρίζες καὶ γιὰ τὸ ἕνα καὶ γιὰ τὸ ἄλλο[10], τόσο πιὸ πίσω θὰ ἀφήσουμε αὐτοὺς ποὺ θὰ ἀναμετρηθοῦν[11] μ' ἐμᾶς στὸ θέμα τῆς ἡγεμονίας: Εἶναι κοινὴ ὁμολογία ὅτι ἡ πόλη μας εἶναι ἡ πιὸ παλιά, ἡ πιὸ μεγάλη καὶ ἡ πιὸ ὀνομαστὴ σ' ὅλον τὸν κόσμο. Καὶ μόλο ποὺ ἡ ἀρχὴ τῆς ἱστορίας της στάθηκε ὁπωσδήποτε ἐξαίρετη, γιὰ τὴν κατοπινὴ λαμπρὴ πορεία της μέσα στὸ χρόνο τῆς πρέπει ἀκόμα μεγαλύτερη τιμή.

Στὴ χώρα ἐτούτη κατοικοῦμε χωρὶς νὰ διώξουμε ἄλλους[12]· οὔτε 24
τὴ βρήκαμε ἔρημη· οὔτε καὶ μαζευτήκαμε ἐδῶ πέρα ἀνάκατοι ἀπὸ διάφορα ἔθνη. Εἶναι τόσο ὡραία καὶ γνήσια, λέω, ἡ καταγωγή μας, ὥστε ἐκεῖ ποὺ γεννηθήκαμε ἐκεῖ καὶ κατοικοῦμε χωρὶς καμιὰ διακοπή, γέννημα — θρέμμα αὐτοῦ τοῦ τόπου[13]. Ἔτσι μποροῦμε νὰ ὀνομάσωμε τὴν πόλη μας μὲ τὶς ἴδιες τρυφερὲς λέξεις ποὺ χρησιμοποιοῦμε γιὰ τοὺς στενούς μας συγγενεῖς. Μονάχα ἐμεῖς δηλ. ἀπὸ τοὺς Ἕλλη- 25
νες ἔχομε τὸ δικαίωμα νὰ τὴν ἀποκαλέσωμε τροφό, πατρίδα, μάνα. Καὶ ἀλήθεια πρέπει νὰ εἶναι σὲ θέση νὰ προβάλουν μιὰ τόση λαμπρὴ καταγωγὴ αὐτοί, ποὺ ἔχουν εὔλογη περηφάνια, διεκδικοῦν τὴν ἡγεμονία μὲ τὸ δίκιο τους καὶ ἀναφέρονται συχνὰ στὸ παρελθόν τους.

Τόσο σημαντικὴ λοιπὸν εἶναι καὶ ἡ πρώτη μας ἀρχὴ καὶ ὅσα 26
ὕστερα μᾶς χάρισε ἡ τύχη. Ὅσο γιὰ τὰ ἀγαθὰ ποὺ ἐμεῖς προσφέραμε στοὺς ἄλλους, ὁ καλύτερος τρόπος νὰ τὰ δοῦμε εἶναι νὰ ἐξετάσωμε μὲ χρονολογικὴ σειρὰ τὰ κατορθώματα τῆς πόλης μας ἀπὸ τὴν ἀρχαία ἐποχή. Σὲ μιὰ τέτοια θεώρηση θὰ διαπιστώσωμε ὅτι ἡ πόλη μας 27
ὄχι μονάχα στάθηκε ἡ πρώτη πάντα στοὺς πολεμικοὺς ἀγῶνες, ἀλλὰ καὶ δημιούργησε ἀποκλειστικὰ σχεδὸν τὸν πολιτισμὸ ποὺ ἔχουμε καὶ ποὺ μ' αὐτὸν ρυθμίζουμε τὶς σχέσεις μεταξύ μας καὶ μᾶς ἐξασφαλίζει τὴ δυνατότητα νὰ ζοῦμε ἀνθρωπινά. Ἀναγκαστικὰ ὅμως ἀπὸ ὅλες τὶς εὐεργεσίες θὰ διαλέξωμε ὄχι βέβαια αὐτὲς ποὺ ἦταν ἀσήμαντες — γι' αὐτὸ καὶ πέρασαν ἀπαρατήρητες καὶ δὲν ἔγινε λόγος — ἀλλὰ ἐκεῖνες ποὺ γιὰ τὴν ἀποφασιστική τους σημασία ὅλοι οἱ ἄνθρωποι παντοῦ καὶ πάντοτε τὶς θυμοῦνται καὶ τὶς μνημονεύουν.

Καὶ πρῶτα — πρῶτα αὐτὸ ποὺ εἶχε πρωταρχικὴ καὶ ἄμεση ἀνά- 28

Ἡ προσ…
στοὺς "Ε…
νες τῶν …
κῶν ἀγα…
της.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη· καὶ γὰρ εἰ μυθώδης ὁ λόγος γέγονεν, ὅμως αὐτῷ καὶ νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν, ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν, ἃς οὐχ οἷόν τ' ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς διττάς, αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασιν, καὶ τὴν τελετήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος
29 ἡδίους τὰς ἐλπίδας ἔχουσιν, οὕτως ἡ πόλις ἡμῶν οὐ μόνον θεοφιλῶς, ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοσούτων ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ' ὧν ἔλαβεν ἅπασι μετέδωκεν. Καὶ τὰ μὲν ἔτι καὶ νῦν καθ' ἕκαστον τὸν ἐνιαυτὸν δείκνυμεν, τῶν δὲ συλλήβδην τάς τε χρείας καὶ τὰς ἐργασίας καὶ τὰς ὠφελείας τὰς ἀπ' αὐτῶν γιγνομένας ἐδίδαξεν. Καὶ τούτοις ἀπιστεῖν μικρῶν ἔτι
30 προστεθέντων οὐδεὶς ἂν ἀξιώσειεν. Πρῶτον μὲν γὰρ ἐξ ὧν ἄν τις καταφρονήσειε τῶν λεγομένων ὡς ἀρχαίων ὄντων, ἐκ τῶν αὐτῶν τούτων εἰκότως ἂν καὶ τὰς πράξεις γεγενῆσθαι νομίσειεν· διὰ γὰρ τὸ πολλοὺς εἰρηκέναι καὶ πάντας ἀκηκοέναι προσήκει μὴ καινὰ μέν, πιστὰ δὲ δοκεῖν εἶναι τὰ λεγόμενα περὶ αὐτῶν. Ἔπειτ' οὐ μόνον ἐνταῦθα καταφυγεῖν ἔχομεν, ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ παρειλήφαμεν, ἀλλὰ καὶ σημείοις μείζοσιν ἢ τούτοις ἔστιν ἡμῖν χρή-
31 σασθαι περὶ αὐτῶν. Αἱ μὲν γὰρ πλεῖσται τῶν πόλεων ὑπόμνημα τῆς παλαιᾶς εὐεργεσίας ἀπαρχὰς τοῦ σίτου καθ' ἕκαστον ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσιν, ταῖς δ' ἐκλειπούσαις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν καὶ ποιεῖν πρὸς τὴν πόλιν τὴν ἡμετέραν τὰ πάτρια. Καίτοι περὶ τίνων χρὴ μᾶλλον πιστεύειν ἢ περὶ ὧν ὅ τε θεὸς ἀναιρεῖ καὶ πολλοῖς τῶν Ἑλλήνων συν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γκη[14] ὁ ὀργανισμός μας τὸ πῆρε ἀπὸ τὴν πόλη μας. Μπορεῖ βέβαια αὐτὸ νὰ εἶναι μονάχα μύθος, ὅμως ἀξίζει καὶ τώρα νὰ τὸν πῶ: Ἡ Δήμητρα, μὲς στὶς περιπλανήσεις της ὅταν τῆς ἔκλεψαν τὴν Κόρη[15], ἔφτασε κάποτε στὴ χώρα μας. Συμπάθησε λοιπὸν τοὺς προγόνους μας γιὰ ὅσα καλὰ τῆς κάμανε — δὲν μπορεῖ ἄλλος νὰ τὰ μάθη αὐτὰ ἐξὸν ἀπὸ τοὺς μυημένους στὰ Ἐλευσίνια Μυστήρια[16] — καὶ τοὺς χάρισε δῶρα διπλά, δῶρα ποὺ ἔχουν πολὺ μεγάλη ἀξία : Τοὺς καρποὺς τῆς γῆς ἀπὸ τὴ μιὰ μεριά, ποὺ μᾶς βοήθησαν νὰ μὴ ζοῦμε σὰν τὰ θεριά, καὶ τὰ Μυστήρια τῆς Ἐλευσίνας ἀπ' τὴν ἄλλη, ποὺ δίνουν ἐλπίδες γλυκὲς στοὺς μυημένους γιὰ τὸ τέλος τῆς ζωῆς μας, γιὰ τὴν αἰωνιότητα...

Ἡ πόλη μας ὅμως, ποὺ εὐτύχησε νὰ ἔχη τὴν ἀγάπη τῶν θεῶν, 29
εἶχε καὶ ἄμετρη ἀγάπη γιὰ τὸν ἄνθρωπο. Τόσα ἀγαθά ποὺ ἀπόχτησε δὲν τὰ ἔκρυψε ζηλότυπα ἀπὸ τοὺς ἄλλους· ἀπὸ ὅσα πῆρε σὲ ὅλους ἔδωσε. Καὶ νά, τὰ Ἐλευσίνια Μυστήρια καὶ τώρα ἀκόμα κάθε χρόνο τὰ τελοῦμε[17]· τὴ χρήση πάλι, τὴν καλλιέργεια καὶ τὴν ὠφέλεια ἀπὸ τοὺς δημητριακοὺς καρποὺς σὲ ὅλους χωρὶς ἐξαίρεση τὴ δίδαξε. Γιὰ ὅλα αὐτὰ κανεὶς δὲ θὰ μποροῦσε νὰ ἀμφιβάλη, ἂν μάλιστα προσθέσω λίγα ἀκόμα.

Πρῶτα—πρῶτα τὸ ἐπιχείρημα πὼς ἡ παράδοση αὐτὴ εἶναι πολὺ 30
παλιά, ποὺ θὰ μποροῦσε ἴσως νὰ μᾶς κάνη νὰ μὴν τὴ λογαριάσωμε, αὐτὸ τὸ ἴδιο ἐπιχείρημα δικαιολογημένα θὰ μποροῦσε καὶ νὰ ἀποδείξη ὅτι ἔγιναν στὴν πραγματικότητα ὅσα λέγονται. Ἀφοῦ πολλοὶ ἔχουν μιλήσει γιὰ τὴν παράδοση αὐτὴ καὶ ὅλοι τὴν ἔχουν ἀκουστά, ἐπιβάλλεται νὰ θεωροῦμε τὰ λεγόμενα ἀπόλυτα ἀξιόπιστα καὶ ὄχι λόγια καινούρια ἀδοκίμαστα ἀπὸ τὸ χρόνο. Ἔπειτα δὲν εἶναι τὸ μοναδικό μας ἐπιχείρημα ὅτι ὁ μύθος καὶ ἡ παράδοση φτάνουν στὶς μέρες μας ἀπὸ τὰ πολὺ παλιά· ἔχομε δυνατότητα νὰ χρησιμοποιήσωμε καὶ ἄλλες ἀποδείξεις, πιὸ ἰσχυρὲς ἀκόμα ἀπὸ αὐτό.

Οἱ περισσότερες δηλ. ἀπὸ τὶς πόλεις τῆς Ἑλλάδας κάθε χρόνο 31
στέλνουν στὴν πόλη τὴ δικιά μας, ἀνάμνηση τῆς παλιᾶς εὐεργεσίας, τὶς ἀπαρχὲς[18] ἀπ' τὴ συγκομιδή τους· ὅσες μάλιστα ἀθέτησαν τὸ χρέος τους αὐτό, πολλὲς φορὲς τὶς πρόσταξε ἡ Πυθία νὰ φέρουν τὸν καρπὸ καὶ νὰ ἐκπληρώσουν ἔτσι τὴν πατροπαράδοτη ὑποχρέωσή τους ἀπέναντι στὴν πόλη μας. Σὲ τί ἄλλο λοιπὸν θὰ ἄξιζε νὰ ἔχωμε πιότερη ἐμπιστοσύνη, ἂν ὄχι σὲ ὅ,τι χρησμοδοτεῖ ὁ θεὸς καὶ συμφωνοῦν μ' αὐτὸ καὶ πολλοὶ Ἕλληνες; Ἀκόμα περισσότερο ποὺ οἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοκεῖ καὶ τά τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ
32 καὶ τὰ νῦν γιγνόμενα τοῖς ὑπ' ἐκείνων εἰρημένοις ὁμολογεῖ; Χω-
ρὶς δὲ τούτων, ἢν ἅπαντα ταῦτ' ἐάσαντες ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν,
εὑρήσομεν ὅτι τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως
ὥσπερ νῦν ἔχοντα κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορί-
σαντο. Τίνας οὖν χρὴ μᾶλλον νομίζειν ἢ δωρεὰν παρὰ τῶν θεῶν
33 λαβεῖν ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν; Οὐ τοὺς ὑπὸ πάντων ὁμολο-
γουμένους καὶ πρώτους γενομένους καὶ πρός τε τὰς τέχνας εὐφυε-
στάτους ὄντας καὶ πρὸς τὰ τῶν θεῶν εὐσεβέστατα διακειμένους;
Καὶ μὴν ὅσης προσήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰ-
τίους, περίεργον διδάσκειν. Οὐδεὶς γὰρ ἂν δύναιτο δωρεὰν τοσαύτην
τὸ μέγεθος εὑρεῖν ἥτις ἴση τοῖς πεπραγμένοις ἐστίν.

34 Περὶ μὲν οὖν τοῦ μεγίστου τῶν εὐεργετημάτων καὶ πρώτου
γενομένου καὶ πᾶσι κοινοτάτου ταῦτ' εἰπεῖν ἔχομεν. Περὶ δὲ τοὺς
αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην τῆς χώρας
κατέχοντας, τοὺς δ' Ἕλληνας εἰς μικρὸν τόπον κατακεκλειμένους
καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς καὶ
στρατείας ἐπ' ἀλλήλους ποιουμένους, καὶ τοὺς μὲν δι' ἔνδειαν τῶν
35 καθ' ἡμέραν, τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους, οὐδὲ ταῦθ'
οὕτως ἔχοντα περιεῖδεν, ἀλλ' ἡγεμόνας εἰς τὰς πόλεις ἐξέπεμψεν,
οἳ παραλαβόντες τοὺς μάλιστα βίου δεομένους, στρατηγοὶ καταστάν-
τες αὐτῶν καὶ πολέμῳ κρατήσαντες τοὺς βαρβάρους, πολλὰς μὲν
ἐφ' ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν, ἁπάσας δὲ τὰς νήσους κα-
τῴκισαν, ἀμφοτέρους δὲ καὶ τοὺς ἀκολουθήσαντας καὶ τοὺς ὑπο-
36 μείναντας ἔσωσαν· τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἴκοι χώραν κατέ-
λιπον, τοῖς δὲ πλείω τῆς ὑπαρχούσης ἐπόρισαν· ἅπαντα γὰρ περιε-
βάλοντο τὸν τόπον ὃν νῦν τυγχάνομεν κατέχοντες. Ὥστε καὶ τοῖς
ὕστερον βουληθεῖσιν ἀποικίσαι τινὰς καὶ μιμήσασθαι τὴν πόλιν τὴν
ἡμετέραν πολλὴν ῥαστώνην ἐποίησαν· οὐ γὰρ αὐτοὺς ἔδει κτωμέ-
νους χώραν διακινδυνεύειν, ἀλλ' εἰς τὴν ὑφ' ἡμῶν ἀφορισθεῖσαν,
37 εἰς ταύτην οἰκεῖν ἰόντας. Καίτοι τίς ἂν ταύτης ἡγεμονίαν ἐπιδεί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παλιές μας παραδόσεις συμβαδίζουν ἀπόλυτα μὲ τὰ σημερινά μας ἔργα καὶ ἐτοῦτα πάλι συμφωνοῦν μὲ ὅσα οἱ παλιοὶ μᾶς ἔχουν παραδώσει.

'Ανεξάρτητα ὅμως ἀπὸ αὐτά, ἂν τὰ ἀφήσουμε ὅλα κατὰ μέρος 32
καὶ ἐξετάσουμε τὶς πρῶτες στιγμὲς ποὺ ἐμφανίστηκε ὁ ἄνθρωπος στὴ γῆ, θὰ δοῦμε πὼς οἱ πρῶτοι ἄνθρωποι δὲ βρῆκαν ἕτοιμα τὰ μέσα τῆς ζωῆς ποὺ ἔχουν τώρα, ἀλλὰ σιγὰ — σιγὰ τὰ ἀνακάλυψαν οἱ ἴδιοι. Ποιοί ὅμως ἀπὸ ὅλους πρέπει νὰ παραδεχτοῦμε ἢ ὅτι τὰ δέχτηκαν χάρισμα ἀπὸ τοὺς θεοὺς ἢ ὅτι τὰ ἀνακάλυψαν ψάχνοντας οἱ ἴδιοι; Ὄχι 33
αὐτοὶ ποὺ ὅλοι παραδέχονται πὼς εἶναι οἱ ἀρχαιότεροι, οἱ πιὸ προικισμένοι γιὰ τὶς τέχνες καὶ οἱ πιὸ εὐσεβεῖς πρὸς τοὺς θεούς; Περιττὸ τώρα νὰ ἀναπτύξω πόση τιμὴ ἀξίζει σ' αὐτοὺς ποὺ ἔγιναν οἱ δημιουργοὶ τόσο μεγάλων ἀγαθῶν. Εἶναι βέβαιο ὅτι κανεὶς δὲ θὰ μποροῦσε νὰ βρῆ δῶρο τόσο σημαντικό, ἀντάξιο στὰ κατορθώματά τους.

Γιὰ τὴ σπουδαιότερη λοιπὸν εὐεργεσία, ποὺ στάθηκε ἡ πρώτη, 34
κοινὴ γιὰ ὅλον τὸν κόσμο, αὐτὰ εἶχα νὰ πῶ. Τὰ ἴδια πάλι χρόνια ἡ πόλη μας ἔβλεπε τοὺς βαρβάρους νὰ κατέχουν τὸ πιὸ μεγάλο μέρος ὅλου τοῦ κόσμου τότε, τὴν ὥρα ποὺ οἱ Ἕλληνες, ἀσφυκτικὰ κλεισμένοι σ' ἕναν τόπο στενό, ἀπὸ ἔλλειψη ἀκριβῶς ζωτικοῦ χώρου, ἀλληλοεπιβουλεύονταν καὶ ὁ ἕνας ἐξεστράτευε κατὰ τοῦ ἄλλου, μὲ ἀποτέλεσμα ἄλλοι νὰ χάνωνται ἀπὸ τὴν πεινα καὶ ἄλλοι ἀπὸ τὸν πόλεμο. Μπροστὰ σὲ μιὰ τέτοια κατάσταση δὲν ἦταν βέβαια δυνατὸ νὰ 35
ἀδιαφορήση : Ἔστειλε στὶς διάφορες πόλεις ἀρχηγούς, παράλαβαν τοὺς πιὸ φτωχούς, ἔγιναν στρατηγοί τους καὶ νίκησαν μὲ τὰ ὅπλα τοὺς βαρβάρους· ἵδρυσαν ὕστερα πόλεις πολλὲς στὶς δυὸ ἠπείρους, ἀποίκησαν ὅλα τὰ νησιὰ καὶ ἔσωσαν ἔτσι τοὺς συντρόφους τους, μὰ καὶ ὅσους εἶχαν μείνει πίσω στὴν πατρίδα : Στοὺς τελευταίους, βλέ- 36
πετε, ἄφησαν ἀρκετὴ γῆ, γιὰ νὰ ἐργάζωνται, ἐνῶ στοὺς συντρόφους τους ἔδωσαν περισσότερη ἀπὸ ὅση εἶχαν πρίν, τώρα μάλιστα ποὺ εἶχαν δικές τους ὅλες τὶς χῶρες ποὺ κατέχομε καὶ σήμερα. Ἔτσι διευκόλυναν πολὺ καὶ ὅσους ὕστερα θέλησαν νὰ μιμηθοῦν τὴν πόλη μας καὶ νὰ ἱδρύσουν ἀποικίες· δὲν εἶχαν πιὰ ἀνάγκη νὰ ἀντιμετωπίσουν ἕνα σωρὸ κινδύνους γιὰ τὴν κατάχτηση μιᾶς νέας χώρας, ἀφοῦ μποροῦσαν νὰ πᾶν καὶ νὰ ἐγκατασταθοῦν εὔκολα σ' αὐτὲς ποὺ ἤδη εἴχαμε καταχτήσει ἐμεῖς.

Ὕστερα ἀπὸ αὐτὰ ποιὸς θὰ μποροῦσε νὰ προβάλη ἡγεμονία μὲ 37

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξειεν ἢ πατριωτέραν τῆς πρότερον γενομένης πρὶν τὰς πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων πόλεων, ἢ μᾶλλον συμφέρουσαν τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους ποιησάσης, τοὺς δ' Ἕλληνας εἰς τοσαύτην εὐπορίαν προαγαγούσης;

38 *Οὐ τοίνυν, ἐπειδὴ τὰ μέγιστα συνδιέπραξεν, τῶν ἄλλων ὠλιγώρησεν, ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποιήσατο τῶν εὐεργεσιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν, ἥνπερ χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶν καλῶς διοικήσειν, ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον οὔπω τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν οὕτως ἐπεμελήθη καὶ τῶν λοιπῶν ὥστε τῶν παρόντων τοῖς ἀνθρώποις ἀγαθῶν, ὅσα μὴ παρὰ θεῶν ἔχομεν, ἀλλὰ δι' ἀλλήλους ἡμῖν γέγονεν, μηδὲν μὲν ἄνευ τῆς πόλεως*
39 *τῆς ἡμετέρας εἶναι, τὰ δὲ πλεῖστα διὰ ταύτην γεγενῆσθαι. Παραλαβοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους, τοὺς δὲ δι' ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξεν, τῶν μὲν κυρία γενομένη, τοῖς δ' αὑτὴν παράδειγμα ποιήσασα· πρώτη γὰρ καὶ*
40 *νόμους ἔθετο καὶ πολιτείαν κατεστήσατο. Δῆλον δ' ἐκεῖθεν· οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαντες καὶ βουληθέντες μετὰ λόγου καὶ μὴ μετὰ βίας διαλύσασθαι τὰ πρὸς ἀλλήλους ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν. Καὶ μὲν δὴ καὶ τῶν τεχνῶν τάς τε πρὸς τἀναγκαῖα τοῦ βίου χρησίμας καὶ τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς μὲν εὑροῦσα, τὰς δὲ δοκιμάσασα*
41 *χρῆσθαι τοῖς ἄλλοις παρέδωκεν. Τὴν τοίνυν ἄλλην διοίκησιν οὕτω φιλοξένως κατεσκευάσατο καὶ πρὸς ἅπαντας οἰκείως ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι τῶν ὑπαρχόντων ἐπιθυ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

περισσότερα δικαιώματα μὲς στὴ βαθιὰ παράδοση τῶν Ἑλλήνων ἀπὸ τούτην ἐδῶ, ποὺ παρουσιάστηκε προτοῦ ἀκόμα νὰ ἱδρυθοῦν οἱ περισσότερες ἀπὸ τὶς πόλεις τῆς Ἑλλάδας; Καὶ ἀκόμα ποιά ἡγεμονία θὰ μποροῦσε νὰ καυχηθῆ πὼς στάθηκε πιὸ χρήσιμη ἀπὸ τὴ δικιά μας, ποὺ ἀναστάτωσε[19] τοὺς βαρβάρους καὶ ὁδήγησε τοὺς Ἕλληνες σὲ μιὰ τέτοια οἰκονομικὴ εὐημερία;

Ἡ προσφορὰ τῶν πνευματικῶν ἀγαθῶν της.

38 Νὰ μὴ θαρρῆτε ὅμως πώς, ἀφοῦ κατάφερε νὰ πραγματοποιήση τὰ πιὸ σπουδαῖα ἔργα, ἀδιαφόρησε γιὰ τὰ ἄλλα. Βέβαια θεώρησε πρωταρχικό της χρέος νὰ βρῆ ψωμὶ γιὰ ὅσους πεινοῦσαν — καὶ εἶναι ἀνάγκη ὅλοι, ὅσοι φιλοδοξοῦν νὰ διοικήσουν ἱκανοποιητικὰ ὅλους τοὺς τομεῖς τῆς πολιτικῆς καὶ κοινωνικῆς ζωῆς μας, αὐτὸ τὸ πρόβλημα νὰ ἀντιμετωπίζουν πρῶτα. Πιστεύοντας ὅμως πὼς μιὰ ζωή, ποὺ ἀποβλέπει νὰ ἱκανοποιήση μονάχα οἰκονομικὲς ἀνάγκες, δὲν ἔχει τὴ δύναμη νὰ κάμη τοὺς ἀνθρώπους νὰ τὴν ἐπιθυμοῦν, φρόντισε τόσο καὶ γιὰ τὶς ἄλλες μας ἀνάγκες, ὥστε ἀπὸ τὰ πνευματικὰ ἀγαθά, ποὺ ἔχουμε ὅλοι σήμερα — αὐτὰ ποὺ δὲν τὰ πήραμε ἀπὸ τοὺς θεούς, ἀλλὰ τὰ δημιουργήσαμε οἱ ἴδιοι μὲ τὴν κοινὴ προσπάθεια — τίποτα δὲν ἔγινε χωρὶς τὴν ἀποφασιστικὴ συμβολὴ τῆς δικιᾶς μας πόλης· ἀντίθετα τὰ πιὸ πολλὰ ὀφείλουν τὴν ὕπαρξή τους ἀποκλειστικὰ σ' αὐτήν.

39 Θέλω νὰ πῶ ὅτι βρῆκε τοὺς Ἕλληνες νὰ ζοῦνε χωρὶς νόμους καὶ νὰ εἶναι σκόρπιοι ἐδῶ καὶ ἐκεῖ, νὰ καταδυναστεύωνται ἀπὸ τυράννους ἢ νὰ χάνωνται ἀπὸ ἀναρχία, καὶ τοὺς ἀπάλλαξε ἀπὸ ὅλα τὰ κακὰ αὐτά, ἄλλους ἀναλαμβάνοντας τὴν προστασία τους καὶ σ' ἄλλους προβάλλοντας τὸν ἑαυτό της γιὰ ὑπόδειγμα εὐνομούμενης πολιτείας· εἶναι γνωστὸ πὼς πρώτη αὐτὴ καθιέρωσε νομοθεσία καὶ διαμόρφωσε πολίτευμα δημοκρατικό[20]. Τὸ ἀποδείχνει εὔκολα τὸ ἑξῆς 40
γεγονός: Στὰ πανάρχαια χρόνια, ὅταν γίνονταν καταγγελίες γιὰ ἐγκλήματα καὶ ἤθελαν νὰ λύσουν τὶς διαφορές τους μὲ βάση τὴ λογικὴ καὶ ὄχι μὲ τρόπο αὐθαίρετο[21], στήριζαν πάντα τὴν κρίση τους στὶς διατάξεις τῶν δικῶν μας νόμων. Ἀλλὰ καὶ ἀπὸ τὶς τέχνες, τόσο τὶς βιοποριστικές, ὅσο καὶ αὐτὲς ποὺ ἐπινοήσαμε γιὰ τὴν ψυχαγωγία μας, ἄλλες τὶς ἀνακάλυψε ἡ πόλη μας καὶ ἄλλες τὶς καλλιέργησε ἀκόμα πιὸ πολὺ καὶ τὶς παράδωσε στοὺς ἄλλους νὰ τὶς χρησιμοποιήσουν.

41 Τοὺς ἄλλους τομεῖς ἔπειτα τῆς πολύπλευρης δραστηριότητάς της τοὺς ρύθμισε μὲ πνεῦμα τόσο φιλόξενο καὶ τόσο στοργικὸ γιὰ ὅλους, ὥστε νὰ προσαρμόζωνται καὶ σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη ἀπὸ χρή-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μοῦσιν ἀμφοτέροις ἁρμόττειν καὶ μήτε τοῖς εὐδαιμονοῦσι μήτε τοῖς δυστυχοῦσιν ἐν ταῖς αὑτῶν ἀχρήστως ἔχειν, ἀλλ' ἑκατέροις αὐτῶν εἶναι παρ' ἡμῖν, τοῖς μὲν ἡδίστας διατριβάς, τοῖς δ' ἀσφαλεστάτην
42 *καταφυγήν. Ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκάστων, ἀλλὰ τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ πλείω τῶν ἱκανῶν φέρουσαν, καὶ πολλῆς ἀπορίας οὔσης τὰ μὲν ὅποι χρὴ διαθέσθαι, τὰ δ' ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις ταῖς συμφοραῖς ἐπήμυνεν· ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ' ὑπερβολὴν ὥσθ' ἃ παρὰ τῶν ἄλλων ἓν παρ' ἑκάστων χαλεπόν ἐστιν λαβεῖν, ταῦθ' ἅπαντα παρ' αὐτῆς ῥᾴδιον εἶναι πορίσασθαι.*

43 *Τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων δικαίως ἐπαινουμένων ὅτι τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν ὥστε σπεισαμένους καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυσαμένους συνελθεῖν εἰς ταὐτόν, καὶ μετὰ ταῦτ' εὐχὰς καὶ θυσίας κοινὰς ποιησαμένους ἀναμνησθῆναι μὲν τῆς συγγενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, εὐμενεστέρως δ' εἰς τὸν λοιπὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς αὐτούς, καὶ τάς τε*
44 *παλαιὰς ξενίας ἀνανεώσασθαι καὶ καινὰς ἑτέρας ποιήσασθαι, καὶ μήτε τοῖς ἰδιώταις μήτε τοῖς διενεγκοῦσιν τὴν φύσιν ἀργὸν εἶναι τὴν διατριβήν, ἀλλ' ἀθροισθέντων τῶν Ἑλλήνων ἐγγενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς αὑτῶν εὐτυχίας, τοῖς δὲ θεάσασθαι τούτους πρὸς ἀλλήλους ἀγωνιζομένους, καὶ μηδετέρους ἀθύμως διάγειν, ἀλλ' ἑκατέρους ἔχειν ἐφ' οἷς φιλοτιμηθῶσιν, οἱ μὲν ὅταν ἴδωσι τοὺς ἀθλητὰς αὑτῶν ἕνεκα πονοῦντας, οἱ δ' ὅταν ἐνθυμηθῶσιν ὅτι πάντες ἐπὶ τὴν σφετέραν θεωρίαν ἥκουσιν, τοσούτων τοίνυν ἀγαθῶν διὰ τὰς συνόδους ἡμῖν γιγνομένων, οὐδ' ἐν τούτοις ἡ πόλις ἡμῶν ἀπελείφθη.*
45 *Καὶ γὰρ θεάματα πλεῖστα καὶ κάλλιστα κέκτηται, τὰ μὲν ταῖς δαπάναις ὑπερβάλλοντα, τὰ δὲ κατὰ τὰς τέχνας εὐδοκιμοῦντα, τὰ δ' ἀμφοτέροις τούτοις διαφέροντα· καὶ τὸ πλῆθος τῶν εἰσαφικνουμένων*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ματα καὶ σὲ ὅσους θέλουν νὰ ἀπολαύσουν τὰ ἀγαθά τους· δὲν ἦταν ἄστοργη οὔτε γιὰ ὅσους τοὺς εὐνόησε ἡ τύχη οὔτε γιὰ κείνους ποὺ δυστυχούσανε στὸν τόπο τους, ἀλλὰ ἐξασφάλισε στοὺς πρώτους εὐχάριστη καὶ ἄνετη ζωή[22], στοὺς ἄλλους πάλι σίγουρο καταφύγιο καὶ ἀσφάλεια[23].

Ἀκόμα εἶναι γνωστὸ πὼς κάθε χώρα βέβαια δὲν παρουσιάζει 42 αὐτάρκεια σὲ ὅλα τὰ προϊόντα: Ἄλλα τῆς λείπουν καὶ ἄλλα τὰ ἔχει παραπάνω ἀπὸ τὶς ἀνάγκες της. Ἔτσι ὑπάρχει μέγα πρόβλημα ποῦ νὰ διαθέση τὸ περίσσευμα καὶ ἀπὸ ποῦ νὰ κάνη εἰσαγωγὴ γιὰ τὰ ἄλλα. Καὶ αὐτὸ ὅμως τὸ πρόβλημα ἡ πόλη μας τὸ ἀντιμετώπισε μὲ τρόπο ἀποφασιστικό: Στὴ μέση τῆς Ἑλλάδας ἔκαμε ἐμπορικὸ κέντρο τὸν Πειραιά, ὅπου συγκεντρώνονται τόσα προϊόντα, ὥστε αὐτὰ ποὺ εἶναι δύσκολο νὰ τὰ προμηθευτῆς καθένα καὶ ἀπὸ τόπον ἄλλο, ἐδῶ τὰ βρίσκεις εὔκολα ὅλα συγκεντρωμένα.

Σ' αὐτοὺς λοιπὸν ποὺ καθιέρωσαν τὶς πανελλήνιες γιορτὲς ται- 43 ριάζει δίκαιος ἔπαινος. Μᾶς κληροδότησαν τὸ θαυμάσιο ἔθιμο νὰ μαζευόμαστε ὅλοι μαζὶ στὸν ἴδιο τόπο ὕστερα ἀπὸ σπονδὲς καὶ ἀπὸ διάλυση τῆς ἔχθρας ποὺ μᾶς χώριζε[24]· νὰ ἑνώνωμε κατόπιν τὶς προσευχὲς καὶ τὶς θυσίες μας καὶ νὰ θυμόμαστε τοὺς παλιοὺς συγγενικοὺς δεσμούς μας, νὰ ἔχωμε πιὸ φιλικὴ διάθεση στὸ μέλλον ὁ ἕνας γιὰ τὸν ἄλλο καὶ τέλος νὰ ἀνανεώνωμε τὶς παλιὲς φιλίες καὶ νὰ δημιουργοῦμε νέες. Οὔτε λοιπὸν γιὰ τοὺς κοινοὺς ἀνθρώπους οὔτε 44 καὶ γιὰ τὶς προικισμένες φύσεις εἶναι ἄσκοπη ἡ προσέλευση στὶς πανελλήνιες γιορτές, ἀφοῦ οἱ τελευταῖοι ἔχουν τὴν εὐκαιρία νὰ ἐπιδείξουν τὰ προσόντα τους μπροστὰ στὸ συγκεντρωμένο πλῆθος τῶν Ἑλλήνων[25] καὶ οἱ ἄλλοι μποροῦν νὰ τοὺς καμαρώσουν ποὺ κάνουν μεταξύ τους ἀγώνα εὐγενικό. Καὶ ὅλοι εἶναι εὐχαριστημένοι, ἀφοῦ ὅλοι ἔχουν μὲ τί νὰ ἱκανοποιηθοῦν : Οἱ θεατὲς βλέπουν τοὺς ἀθλητὲς νὰ ἀγωνίζωνται γιὰ χάρη τους καὶ τοῦτοι πάλι σκέφτονται πὼς ὅλοι ἦρθαν γιὰ νὰ τοὺς καμαρώσουν. Ἀφοῦ λοιπὸν τόσο καλὸ κάνουν σ' ἐμᾶς οἱ πανελλήνιες συγκεντρώσεις, ἤτανε φυσικὸ νὰ μὴ μείνη πίσω ἡ πόλη μας οὔτε καὶ σ' αὐτές.

Καὶ πράγματι ἀπόχτησε θεάματα πάρα πολλὰ καὶ θαυμαστά[26], 45 ἄλλα πολυτελῆ καὶ πολυδάπανα, ἄλλα ὀνομαστὰ γιὰ τὴν ἀξία τους τὴν καλλιτεχνικὴ καὶ ἄλλα πάλι ποὺ συνδυάζουν καὶ τὰ δυό. Καὶ εἶναι τόσο τὸ πλῆθος τῶν ἀνθρώπων ποὺ καταφθάνουν συνέχεια στὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὡς ἡμᾶς τοσοῦτόν ἐστιν ὥστ' εἴ τι ἐν τῷ πλησιάζειν ἀλλήλοις ἀγα-
θόν ἐστιν, καὶ τοῦθ' ὑπ' αὐτῆς περιειλῆφθαι. Πρὸς δὲ τούτοις καὶ φι-
λίας εὑρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν παντοδαπωτάταις μά-
λιστα παρ' ἡμῖν ἔστιν, ἔτι δ' ἀγῶνας ἰδεῖν μὴ μόνον τάχους καὶ ῥώ-
μης ἀλλὰ καὶ λόγων καὶ γνώμης καὶ τῶν ἄλλων ἔργων ἁπάντων, καὶ
46 *τούτων ἆθλα μέγιστα. Πρὸς γὰρ οἷς αὐτὴ τίθησιν, καὶ τοὺς ἄλ-*
λους διδόναι συναναπείθει· τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα τοσαύτην λαμ-
βάνει δόξαν ὥστε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι. Χωρὶς δὲ τού-
των αἱ μὲν ἄλλαι πανηγύρεις διὰ πολλοῦ χρόνου συλλεγεῖσαι ταχέως
διελύθησαν, ἡ δ' ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμέ-
νοις πανήγυρίς ἐστιν.

47 *Φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατε-*
σκεύασε καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαίδευσε καὶ πρὸς ἀλλή-
λους ἐπράυνε καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγ-
κης γιγνομένας διεῖλε καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγ-
κεῖν ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξεν, καὶ λόγους ἐτίμησεν, ὧν
48 *πάντες μὲν ἐπιθυμοῦσιν, τοῖς δ' ἐπισταμένοις φθονοῦσιν, συνει-*
δυῖα μὲν ὅτι τοῦτο μόνον ἐξ ἁπάντων τῶν ζῴων ἴδιον ἔφυμεν ἔχοντες
καὶ διότι τούτῳ πλεονεκτήσαντες καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διη-
νέγκαμεν, ὁρῶσα δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις
οὔσας τὰς τύχας ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυ-
χεῖν καὶ τοὺς ἀνοήτους κατορθοῦν, τῶν δὲ λόγων τῶν καλῶς καὶ τε-
χνικῶς ἐχόντων οὐ μετὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔρ-
49 *γον ὄντας, καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι*
ταύτῃ πλεῖσταν ἀλλήλων διαφέροντας, ἔτι δὲ τοὺς εὐθὺς ἐξ ἀρχῆς
ἐλευθέρως τεθραμμένους ἐκ μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοι-
ούτων ἀγαθῶν οὐ γιγνωσκομένους, ἐκ δὲ τῶν λεγομένων μάλιστα κα-
ταφανεῖς γιγνομένους, καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν
ἑκάστου πιστότατον ἀποδεδειγμένον, καὶ τοὺς λόγῳ καλῶς χρωμέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πόλη μας, ὥστε ἂν κάτι καλὸ ὑπάρχη στὴν ἐπικοινωνία αὐτὴ ἀνάμεσα στοὺς ἀνθρώπους, καὶ αὐτὸ τὸ ἀπόλαυσε ἡ πόλη μας. Πέρα ἀπὸ αὐτὰ ὑπάρχει ἡ δυνατότητα νὰ βρῆ κανεὶς ἐδῶ φίλους εἰλικρινεῖς καὶ συντροφιὲς κάθε λογῆς[27], νὰ δῆ ἀγῶνες δρόμου καὶ σωματικῆς ἀλκῆς, ἀγῶνες λόγου, πνεύματος καὶ ὅλων τῶν ἄλλων ἔργων τοῦ ἀνθρώπου, καὶ γιὰ ὅλα αὐτὰ τὰ πιὸ μεγάλα ἔπαθλα. Γιατί, ἐκτὸς ἀπὸ 46
ὅσα ἀθλοθετεῖ ἡ ἴδια, τὰ καταφέρνει νὰ προσφέρουν καὶ οἱ ἄλλες πόλεις τῆς Ἑλλάδας· καὶ αὐτὸ γιατὶ ὅσα ἐμεῖς κρίνουμε ἄξια, ἀμέσως ἀποχτοῦν μιὰ τέτοια φήμη, ποὺ τὰ ἀγαπάει ὅλος ὁ κόσμος. Ξέχωρα ἀπὸ αὐτὰ οἱ ἄλλες πανελλήνιες συγκεντρώσεις γίνονται σὲ χρονικὰ διαστήματα ἀραιὰ[28] καὶ διαλύονται γρήγορα, ἐνῶ ἡ πόλη ἡ δικιά μας εἶναι μιὰ ἀδιάκοπη γιορτὴ γιὰ ὅσους φτάνουνε σ' αὐτὸν τὸν τόπο.

Ἡ πόλη μας δίδαξε ἐπίσης ὅτι ἡ καλλιέργεια τοῦ πνεύματος[29] 47
τὰ ἐπινόησε καὶ ἔδωσε μορφὴ σὲ ὅλα αὐτά,· μᾶς ἔδωσε τὰ ἐφόδια νὰ μεταφέρουμε τὴ θεωρία σὲ πράξη, γλύκανε τὶς σχέσεις μεταξύ μας, ξεχώρισε τὶς συμφορὲς σ' αὐτὲς ποὺ φέρνει ἡ ἀμάθεια καὶ αὐτὲς ποὺ φέρνει ἡ ἀνάγκη καὶ μᾶς ἔμαθε νὰ φυλαγόμαστε ἀπὸ τὶς πρῶτες καὶ νὰ ἀντιμετωπίζωμε μὲ καρτερία τὶς ἄλλες. Ἡ πόλη μας ἀναγνώρισε ἀκόμα τὴν πρέπουσα ἀξία στὴν τέχνη τοῦ λόγου, ποὺ ὅλοι λαχταροῦν νὰ ἀποχτήσουν, φθονοῦν ὡστόσο αὐτοὺς ποὺ τὴν κατέχουν. Καὶ αὐτὸ γιατὶ ἔχει βαθιὰ ἐπίγνωση πὼς εἶναι τὸ μόνο φυσικό 48
μας πλεονέκτημα ἀπέναντι στὰ ζῶα καὶ ἀκριβῶς αὐτὸ εἶναι ποὺ μᾶς κάνει νὰ ξεχωρίζωμε ἀπὸ ἐκεῖνα σὲ ὅλες τὶς ἄλλες ἐκδηλώσεις μας· βλέπει καλὰ ὅτι ἡ τύχη στὶς ἄλλες βέβαια πλευρὲς τῆς ἀνθρώπινης δραστηριότητας εἶναι ἔτσι ἰδιότροπη καὶ ἄστατη, ὥστε πολλὲς φορὲς δὲν πετυχαίνουν στὴ ζωὴ οἱ μυαλωμένοι, ἐνῶ τὰ καταφέρνουν οἱ ἀνόητοι, καὶ μονάχα οἱ λόγοι ποὺ εἶναι καμωμένοι μὲ ὀμορφιὰ καὶ τέχνη δὲν εἶναι δυνατὸ νὰ βγοῦν ἀπὸ ἀμαθεῖς καὶ ἄξεστους, παρὰ εἶναι δημιουργήματα πνευμάτων φωτεινῶν καὶ προικισμένων. Ξέρει ἀκό- 49
μα ὅτι οἱ καλλιεργημένοι καὶ αὐτοὶ ποὺ θεωροῦνται ἄξεστοι σ' αὐτὸ τὸ σημεῖο διαφέρουν μεταξύ τους βασικά, ἀλλὰ καὶ ὅσοι ἀνατράφηκαν ἀπὸ τὴν ἀρχὴ ὅπως ταιριάζει σὲ ἐλεύθερους δὲν ξεχωρίζουν ἀπὸ τὴν παλικαριὰ καὶ ἀπὸ τὰ πλούτη τους καὶ ἀπὸ ἄλλα τέτοια ἀγαθά· ἡ ἱκανότητα στὸ λόγο εἶναι ποὺ τοὺς προβάλλει καὶ ἀποτελεῖ κατὰ κοινὴ ὁμολογία τὸ ἀλάνθαστο κριτήριο γιὰ τὸ βαθμὸ καλλιέργειας ποὺ διαθέτει ὁ καθένας· καὶ ὅσοι χειρίζονται τὸ λόγο μὲ ἱκανότητα δὲν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νους οὐ μόνον ἐν ταῖς αὑτῶν δυναμένους, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις
50 *ἐντίμους ὄντας. Τοσοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ*
φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥσθ' οἱ ταύτης μαθηταὶ
τῶν ἄλλων διδάσκαλοι γεγόνασιν, καὶ τὸ τῶν Ἑλλήνων ὄνομα πε-
ποίηκεν μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι, καὶ μᾶλ-
λον Ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας ἢ τοὺς
τῆς κοινῆς φύσεως μετέχοντας.

51 *Ἵνα δὲ μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν ὑπὲρ ὅλων τῶν πρα-*
γμάτων ὑποθέμενος, μηδ' ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν ἀπο-
ρῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ταῦτα μὲν εἰρήσθω μοι
πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμουμένους· ἡγοῦμαι δὲ τοῖς προ-
γόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλ-
52 *λων εὐεργεσιῶν. Οὐ γὰρ μικροὺς οὐδ' ὀλίγους οὐδ' ἀφανεῖς ἀγῶ-*
νας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους, τοὺς μὲν
ὑπὲρ τῆς αὑτῶν χώρας, τοὺς δ' ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα
γὰρ τὸν χρόνον διετέλεσαν κοινὴν τὴν πόλιν παρέχοντες καὶ τοῖς ἀδι-
53 *κουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν. Διὸ δὴ καὶ κατηγοροῦ-*
σί τινες ἡμῶν ὡς οὐκ ὀρθῶς βουλευομένων, ὅτι τοὺς ἀσθενεστέρους
εἰθίσμεθα θεραπεύειν, ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς
τοὺς λόγους ὄντας τοὺς τοιούτους. Οὐ γὰρ ἀγνοοῦντες ὅσον διαφέρουσιν
αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν, οὕτως ἐβουλευόμεθα
περὶ αὐτῶν, ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαί-
νοντ' ἐκ τῶν τοιούτων ὅμως ᾑρούμεθα τοῖς ἀσθενεστέροις καὶ παρὰ τὸ
συμφέρον βοηθεῖν μᾶλλον ἢ τοῖς κρείττοσιν τοῦ λυσιτελοῦντος ἕνεκα
συναδικεῖν.

54 *Γνοίη δ' ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην τὴν τῆς πόλεως*
ἐκ τῶν ἱκετειῶν ἃς ἤδη τινὲς ἡμῖν ἐποιήσαντο. Τὰς μὲν οὖν ἢ νεωστὶ
γεγενημένας ἢ περὶ μικρῶν ἐλθούσας παραλείψω· πολὺ δὲ πρὸ τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔχουν δύναμη μόνο στὸν τόπο τους, ἀλλὰ καὶ στὰ ἄλλα μέρη τοὺς
τιμοῦν.

Τόσο πολὺ ξεπέρασε ἡ πόλη μας ὅλους τοὺς ἄλλους στὴν πνευμα- 50
τικὴ ἀνάπτυξη καὶ στὴν τέχνη τοῦ λόγου, ὥστε οἱ δικοί της μαθητὲς
ἔγιναν δάσκαλοι στοὺς ἄλλους[30]· τὸ ὄνομα πάλι Ἕλληνες κατόρθωσε
νὰ μὴ συμβολίζη πιὰ τὴν καταγωγή, ἀλλὰ τὴν καλλιέργεια τοῦ πνεύ-
ματος, καὶ Ἕλληνες νὰ ὀνομάζωνται πιὸ πολὺ ὅσοι δέχτηκαν τὸν τρό-
πο τῆς δικιᾶς μας ἀγωγῆς καὶ μόρφωσης παρὰ αὐτοὶ ποὺ ἔχουν τὴν
ἴδια μὲ ἐμᾶς καταγωγή.

Πολεμικὲς ὑπηρεσίες τῆς Ἀθήνας πρὶν ἀπὸ τὰ Μηδικά.

Γιὰ νὰ μὴ δώσω ὅμως τὴν ἐντύπωση πὼς πελαγοδρομῶ σὲ λε- 51
πτομέρειες, ἐνῶ στὴν ἀρχὴ ὑποσχέθηκα πὼς θὰ ἀναπτύξω ὅλο τὸ θέ-
μα στὴ γενικὴ μορφή του, καὶ γιὰ νὰ μὴ φανῆ πὼς πλέκω ἐγκώμιο
στὴν πόλη μας μὲ ὅλα τὰ παραπάνω, γιατὶ ἀδυνατῶ νὰ τὴν ἐπαινέσω
γιὰ τὰ πολεμικὰ της κατορθώματα, ἂς ποῦμε πὼς τὰ εἶπα ὅλα αὐτὰ
γιὰ ὅσους ἱκανοποιεῖται τὸ φιλότιμό τους ὅταν ἀκοῦνε τέτοια θέματα.
Ἐγὼ προσωπικὰ νομίζω ὅτι στοὺς προγόνους μας δὲν ταιριάζει μικρό-
τερη τιμὴ γιὰ τοὺς πολεμικοὺς κινδύνους ποὺ ἀντιμετώπισαν ἀπὸ ὅση
γιὰ τὶς ἄλλες εὐεργεσίες ποὺ πρόσφεραν στοὺς Ἕλληνες. Δὲν ἦταν δὰ 52
οὔτε μικροὶ οὔτε ἀσήμαντοι οὔτε καὶ λίγοι οἱ ἀγῶνες, ποὺ ὑπόμειναν·
ἀντίθετα, πολλοὶ καὶ μεγάλοι καὶ φοβεροί! Ἄλλοι γιὰ νὰ ὑπερασπί-
σουν τὴ δικιά τους χώρα καὶ ἄλλοι γιὰ τὴν ἐλευθερία τῶν Ἑλλήνων —
Εἶναι γνωστὸ πὼς πάντοτε διέθεταν τὴ δύναμη τῆς πόλης γιὰ τὸ
κοινὸ συμφέρο τῆς Ἑλλάδας καὶ γιὰ τὴν ὑπεράσπιση Ἑλλήνων,
ποὺ δεινοπαθοῦσαν. Γι' αὐτὸ δὰ καὶ μᾶς κατακρίνουν μερικοὶ πὼς 53
τάχα δὲ σκεφτόμαστε λογικά, ἀφοῦ εἴχαμε τὴν ἀνόητη συνήθεια
νὰ βοηθοῦμε τοὺς ἀδύνατους — λὲς καὶ δὲ βοηθᾶνε τέτοια λόγια
αὐτοὺς ποὺ θέλουν νὰ μᾶς ἐπαινέσουν! Υἱοθετήσαμε αὐτὴ τὴν ταχτι-
κὴ ὄχι γιατὶ δὲν ξέρομε τί ρόλο παίζουν οἱ ἰσχυρὲς συμμαχίες γιὰ τὴν
ἀσφάλειά μας· ξέρομε καλύτερα ἀπὸ τοὺς ἄλλους τὶς συνέπειες μιᾶς
τέτοιας ταχτικῆς, ἀλλὰ τὸ βρίσκομε πιὸ ἔντιμο νὰ ὑπερασπίζωμε
τοὺς πιὸ ἀδύναμους ἐνάντια στὸ συμφέρο μας, παρὰ νὰ συνεργοῦμε
στὶς ἀδικίες τῶν ἰσχυρῶν μόνο καὶ μόνο γιὰ νὰ ἐξασφαλίσωμε ὑλικὰ
κέρδη.

Ἴσως θὰ ἦταν δυνατὸ νὰ ἀντιληφθῆ κανεὶς τὴ νοοτροπία καὶ 54
τὴ δύναμη τῆς πόλης μας ἀπὸ τὶς ἐπικλήσεις γιὰ βοήθεια ποὺ μερι-
κοὶ μᾶς ἔκαναν ὡς τώρα. Αὐτὲς ποὺ τώρα τελευταῖα ἔγιναν ἢ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Τρωϊκῶν, — ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν τοὺς ὑπὲρ τῶν
πατρίων ἀμφισβητοῦντας. — ἦλθον οἵ θ' Ἡρακλέους παῖδες καὶ
μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Ταλαοῦ, βασιλεὺς ὢν Ἄργους,
55 οὗτος μὲν ἐκ τῆς στρατείας τῆς ἐπὶ Θήβας δεδυστυχηκώς, καὶ τοὺς
ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας αὐτὸς μὲν οὐ δυνάμενος ἀνελέσθαι,
τὴν δὲ πόλιν ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις καὶ μὴ περιορᾶν τοὺς
ἐν τοῖς πολέμοις ἀποθνῄσκοντας ἀτάφους γιγνομένους μηδὲ παλαιὸν
56 ἔθος καὶ πάτριον νόμον καταλυόμενον, οἱ δ' Ἡρακλέους παῖδες
φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν, καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερο-
ρῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς αὐτῶν συμφοραῖς, τὴν δ'
ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι μόνην ἀποδοῦναι χάριν ὑπὲρ ὧν ὁ
57 πατὴρ αὐτῶν ἅπαντας ἀνθρώπους εὐεργέτησεν. Ἐκ δὴ τούτων ῥᾴ-
διον κατιδεῖν ὅτι καὶ κατ' ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν ἡγεμονι-
κῶς εἶχεν· τίς γὰρ ἂν ἱκετεύειν τολμήσειεν ἢ τοὺς ἥττους αὐτῶν ἢ τοὺς
ὑφ' ἑτέροις ὄντας, παραλιπὼν τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως
τε καὶ περὶ πραγμάτων οὐκ ἰδίων, ἀλλὰ κοινῶν καὶ περὶ ὧν οὐδένας
ἄλλους εἰκὸς ἦν ἐπιμεληθῆναι πλὴν τοὺς προεστάναι τῶν Ἑλλήνων
58 ἀξιοῦντας; Ἔπειτ' οὐδὲ ψευσθέντες φαίνονται τῶν ἐλπίδων δι' ἃς
κατέφυγον ἐπὶ τοὺς προγόνους ἡμῶν. Ἀνελόμενοι γὰρ πόλεμον ὑπὲρ
μὲν τῶν τελευτησάντων πρὸς Θηβαίους, ὑπὲρ δὲ τῶν παίδων τῶν
Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύσαντες
ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς νεκροὺς τοῖς προσήκουσιν, Πελο-
ποννησίων δὲ τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσβαλόντας
ἐπεξελθόντες ἐνίκησαν μαχόμενοι κἀκεῖνον τῆς ὕβρεως ἔπαυσαν.
59 Θαυμαζόμενοι δὲ καὶ διὰ τὰς ἄλλας πράξεις ἐκ τούτων τῶν ἔργων ἔτι
μᾶλλον εὐδοκίμησαν. Οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν, ἀλλὰ τοσοῦτον*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἦταν γιὰ ἀσήμαντα ζητήματα θὰ τὶς παραλείψω. Ὅμως πολὺ προ-
τοῦ νὰ γίνουν τὰ Τρωϊκὰ — ἀπὸ ἐκεῖ εἶναι σωστὸ νὰ ἀντλοῦν ἐπιχει-
ρήματα ὅσοι προβάλλουν δικαιώματα πατροπαράδοτα — ἦρθαν οἱ
γιοὶ τοῦ Ἡρακλῆ[31] καὶ λίγο πρὶν ὁ Ἄδραστος[32] τοῦ Ταλαοῦ καὶ βασι-
λιὰς τοῦ Ἄργους. Ὁ τελευταῖος ἀπότυχε στὴν ἐκστρατεία κατὰ τῆς 55
Θήβας καὶ δὲν εἶχε τὴ δύναμη ὁ ἴδιος νὰ σηκώση καὶ νὰ θάψη τοὺς νε-
κροὺς πολεμιστές του, ποὺ εἶχαν πέσει κάτω ἀπὸ τὰ τείχη τῆς Καδ-
μείας. Ζήτησε λοιπὸν ἀπὸ τὴν πόλη μας νὰ τὸν συνδράμη σ' αὐτὴ
τὴ συμφορὰ — ποὺ σὲ ὅλους εἶναι δυνατὸ νὰ τύχη — καὶ νὰ μὴν ἀνε-
χτῆ νὰ μένουν ἄταφοι οἱ σκοτωμένοι στοὺς πολέμους, οὔτε νὰ κατα-
πατηθῆ παλιὰ συνήθεια καὶ νόμος ἱερὸς πατροπαράδοτος. Τὰ τέκνα 56
πάλι τοῦ Ἡρακλῆ, κυνηγημένα ἀπὸ τὴν ἔχθρα τοῦ Εὐρυσθέα, ἄφη-
σαν κατὰ μέρος τὶς ἄλλες πόλεις τῆς Ἑλλάδας σὰν ἀνίκανες νὰ τοὺς
προσφέρουν συνδρομὴ στὴ δυστυχία τους καὶ πίστεψαν πὼς μόνο ἡ
δικιά μας ἦταν σὲ θέση νὰ τοὺς παρασταθῆ, γιὰ τὸ καλὸ ποὺ ὁ πατέ-
ρας τους ἔκανε σὲ ὅλη τὴν ἀνθρωπότητα.

Ἀπὸ ὅλα αὐτὰ φαίνεται ὁλοκάθαρα πὼς καὶ τὰ χρόνια ἐκεῖνα ἡ 57
πόλη μας εἶχε τὰ πρωτεῖα: Ποιός τάχα θὰ εἶχε τὸ κουράγιο νὰ κάνη
ἐπικλήσεις γιὰ βοήθεια ἢ σὲ κατώτερούς τους ἢ στοὺς ὑποταγμένους σὲ
ἄλλους καὶ δὲ θὰ λογάριαζε τοὺς πιὸ ἰσχυρούς; Ἀκόμα περισσότερο ποὺ
τὰ ζητήματά τους δὲν εἶχαν χαρακτήρα ἰδιωτικό, ἀλλὰ παρουσίαζαν ἐν-
διαφέρον γενικό, καὶ ἦταν φυσικὸ νὰ ἀσχοληθοῦν μὲ αὐτὰ μονάχα ὅσοι
διεκδικοῦσαν τὸ δικαίωμα νὰ κατευθύνουν τὶς τύχες τῶν Ἑλλήνων.

Ἄλλωστε δὲ φαίνεται νὰ διαψεύστηκαν οἱ ἐλπίδες τους, ποὺ 58
τοὺς ὁδήγησαν νὰ καταφύγουν στοὺς προγόνους μας. Ἀνάλαβαν,
ὅπως ξέρομε, ἀπὸ τὴ μιὰ μεριὰ τὸν πόλεμο ἐνάντια στοὺς Θηβαίους,
γιὰ νὰ πετύχουν νὰ ἐνταφιαστοῦν οἱ νεκροί, καὶ ἀπὸ τὴν ἄλλη τὰ ἔβα-
λαν μὲ τὴ δύναμη τοῦ Εὐρυσθέα γιὰ τὸ χατήρι τῶν παιδιῶν τοῦ Ἡ-
ρακλῆ. Ἔτσι ἀνάγκασαν μὲ ἐκστρατεία τοὺς Θηβαίους νὰ παραδώ-
σουν τοὺς νεκροὺς στοὺς συγγενεῖς τους νὰ τοὺς θάψουν· ἀλλὰ καὶ
τὸ στρατὸ τῶν Πελοποννησίων, ποὺ ἔκαμε εἰσβολὴ στὴ χώρα μας
μαζὶ μὲ τὸν Εὐρυσθέα, τὸν καταδίωξαν, τὸν νίκησαν στὴ μάχη καὶ
ἔδωσαν γερὸ χτύπημα στὴν ὑπεροψία καὶ τὴ θρασύτητα ἐκείνου.

Καὶ γιὰ τὰ ἄλλα τους κατορθώματα βέβαια τοὺς θαυμάζουν τοὺς 59
προγόνους μας, ὅμως φήμη ἀκόμα μεγαλύτερη ἀπόχτησαν ἀπὸ τὶς
πράξεις τους αὐτές. Δὲν πέτυχαν δὰ καὶ μικρὸ πράγμα: Ἄλλαξαν τόσο

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰς τύχας ἑκατέρων μετήλλαξαν ὥσθ' ὁ μὲν ἱκετεύειν ἡμᾶς ἀξιώσας
βίᾳ τῶν ἐχθρῶν ἅπανθ' ὅσων ἐδεήθη διαπραξάμενος ἀπῆλθεν, Εὐ-
ρυσθεὺς δὲ βιάσεσθαι προσδοκήσας αὐτὸς αἰχμάλωτος γενόμενος
60 *ἱκέτης ἠναγκάσθη καταστῆναι, καὶ τῷ μὲν ὑπερενεγκόντι τὴν ἀνθρω-*
πίνην φύσιν, ὃς ἐκ Διὸς μὲν γεγονώς, ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην
ἔσχεν, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον
διετέλεσεν, ἐπειδὴ δ' εἰς ἡμᾶς ἐξήμαρτεν, εἰς τοσαύτην κατέστη με-
ταβολὴν ὥστ' ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου γενόμενος ἐπονειδίστως
τὸν βίον ἐτελεύτησεν.

61 *Πολλῶν δ' ὑπαρχουσῶν ἡμῖν εὐεργεσιῶν εἰς τὴν πόλιν τὴν Λακε-*
δαιμονίων περὶ ταύτης μόνης μοι συμβέβηκεν εἰπεῖν· ἀφορμὴν γὰρ λα-
βόντες τὴν δι' ἡμῶν αὐτοῖς γενομένην σωτηρίαν οἱ πρόγονοι μὲν τῶν
νῦν ἐν Λακεδαίμονι βασιλευόντων, ἔκγονοι δ' Ἡρακλέους, κατῆλθον
μὲν εἰς Πελοπόννησον, κατέσχον δ' Ἄργος καὶ Λακεδαίμονα καὶ
Μεσσήνην, οἰκισταὶ δὲ Σπάρτης ἐγένοντο, καὶ τῶν παρόντων ἀγαθῶν
62 *αὐτοῖς ἁπάντων ἀρχηγοὶ κατέστησαν. Ὧν ἐχρῆν ἐκείνους μεμνημένους*
μηδέποτ' εἰς τὴν χώραν ταύτην εἰσβαλεῖν, ἐξ ἧς ὁρμηθέντες τοσαύτην
εὐδαιμονίαν κατεκτήσαντο, μηδ' εἰς κινδύνους καθιστάναι τὴν πό-
λιν τὴν ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους προκινδυνεύσασαν, μηδὲ
τοῖς μὲν ἀπ' ἐκείνου γεγονόσι διδόναι τὴν βασιλείαν, τὴν δὲ τῷ γέ-
63 *νει τῆς σωτηρίας αἰτίαν οὖσαν δουλεύειν αὐτοῖς ἀξιοῦν. Εἰ δὲ δεῖ*
τὰς χάριτας καὶ τὰς ἐπιεικείας ἀνελόντας ἐπὶ τὴν ὑπόθεσιν πάλιν
ἐπανελθεῖν καὶ τὸν ἀκριβέστατον τῶν λόγων εἰπεῖν, οὐ δή που πάτριόν
ἐστιν ἡγεῖσθαι τοὺς ἐπήλυδας τῶν αὐτοχθόνων, οὐδὲ τοὺς εὖ πα-
θόντας τῶν εὖ ποιησάντων, οὐδὲ τοὺς ἱκέτας γενομένους τῶν ὑποδε-
64 *ξαμένων. Ἔτι δὲ συντομώτερον ἔχω δηλῶσαι περὶ αὐτῶν. Τῶν*
μὲν γὰρ Ἑλληνίδων πόλεων χωρὶς τῆς ἡμετέρας Ἄργος καὶ Θῆβαι
καὶ Λακεδαίμων καὶ τότ' ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσιν.
Φαίνονται δ' ἡμῶν οἱ πρόγονοι τοσοῦτον ἁπάντων διενεγκόντες ὥσθ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τύχη καὶ στὶς δυὸ περιπτώσεις ποὺ ἀνάφερα πιὸ πάνω, ὥστε αὐτὸς ποὺ ἔκρινε σωστὸ νὰ μᾶς ἱκετεύση γύρισε πίσω, ἀφοῦ πέτυχε ὅλα ὅσα ζήτησε, μὲ τὴ βία, ἀπ' τοὺς ἐχθρούς του· ὁ Εὐρυσθέας πάλι, ποὺ ἔλπισε γιὰ μιὰ στιγμὴ πὼς θὰ μᾶς ἐπιβληθῆ μὲ τὴ βία, πιάστηκε αἰχμάλωτος καὶ ἀναγκάστηκε νὰ πέση στὰ πόδια μας ἱκέτης. Αὐτὸς 60
ποὺ σὲ ὅλη τὴ ζωή του ἔδινε ἐντολὲς καὶ καταδυνάστευε ἐκεῖνον, ποὺ ξεπέρασε τὴ φύση τὴν ἀνθρώπινη—ἤτανε γιὸς τοῦ Δία[33], μὰ καὶ σὰν ἄνθρωπος θεϊκιὰ δύναμη εἶχε—ὅταν ἔκανε τὸ λάθος νὰ τὰ βάλη μαζί μας, τόσο ἀνάποδα τοῦ ἦρθαν τὰ πράγματα, ὥστε ἔπεσε στὰ χέρια τῶν ἀπογόνων τοῦ θύματός του καὶ τελείωσε ντροπιασμένος τὴ ζωή του.

Παρόλο ποὺ πολλὲς ἦταν οἱ εὐεργεσίες ποὺ προσφέραμε στὴν 61
πόλη τῶν Σπαρτιατῶν, ἡ περίσταση τὸ ἔφερε νὰ σᾶς μιλήσω μοναχὰ γι' αὐτήν. Καὶ αὐτὸ γιατὶ οἱ πρόγονοι τῶν σημερινῶν βασιλιάδων τῆς Σπάρτης καὶ ἀπόγονοι τοῦ Ἡρακλῆ, στηριγμένοι ἀκριβῶς στὴ σωτηρία ποὺ τοὺς ἐξασφαλίσαμε ἐμεῖς, κατέβηκαν στὴν Πελοπόννησο, πῆραν τὸ Ἄργος, τὴ Λακεδαίμονα καὶ τὴ Μεσσήνη, ἵδρυσαν ὕστερα τὴ Σπάρτη καὶ ἔγιναν οἱ δημιουργοὶ τῶν ἀγαθῶν ποὺ ἀπολαβαίνουν τώρα ὅλοι. Ὅλα αὐτὰ βέβαια ἔπρεπε νὰ τὰ θυμοῦνται ἐκεῖνοι 62
καὶ σὲ καμιὰ περίπτωση νὰ μὴν εἰσβάλουν στὴ χώρα τούτη, ἀπὸ ὅπου ξεκίνησαν καὶ ἀπόχτησαν τόση εὐημερία· ποτὲ νὰ μὴ βάζουν σὲ κίνδυνο τὴν πόλη αὐτή, ποὺ ἀντιμετώπισε κινδύνους, γιὰ νὰ ὑπερασπίση τὰ τέκνα τοῦ Ἡρακλῆ· οὔτε καὶ νὰ ἔχουν τὴν ἀξίωση νὰ κάνουν σκλάβα τους[34] τὴν πόλη, ποὺ ἔσωσε τὸ γένος τοῦ Ἡρακλῆ, τὴ στιγμὴ μάλιστα ποὺ κάνουν βασιλιάδες τοὺς ἀπογόνους του.

Μὰ καὶ ἂν ἀκόμα πρέπη νὰ ἀφήσω κατὰ μέρος τὴν καλοσύνη 63
ποὺ τοὺς δείξαμε καὶ τὴν εὐγνωμοσύνη ποὺ χρωστοῦν σ' ἐμᾶς, γιὰ νὰ ξαναγυρίσω στὸ βασικό μου θέμα καὶ νὰ σᾶς πῶ τὰ πράγματα χωρὶς περιστροφές, ἔχω νὰ πῶ ὅτι δὲν εἶναι πατροπαράδοτη συνήθεια τῶν Ἑλλήνων νὰ διευθύνουν οἱ ξενοφερμένοι[35] τοὺς αὐτόχθονες[36], οὔτε καὶ ὅσοι εὐεργετήθηκαν τοὺς εὐεργέτες τους οὔτε καὶ αὐτοὶ ποὺ πέσανε στὰ γόνατα θερμοπαρακαλώντας ὅσους τοὺς δέχτηκαν μὲ καλοσύνη καὶ ἀνθρωπιά.

Μπορῶ ὅμως νὰ φέρω καὶ ἐπιχείρημα ἀκόμα πιὸ συνοπτικό: 64
Ἀπὸ τὶς πόλεις τῆς Ἑλλάδας, ἂν βγάλης τὴ δικιά μας, ἦταν καὶ εἶναι οἱ πιὸ μεγάλες τὸ Ἄργος, ἡ Θήβα καὶ ἡ Σπάρτη. Οἱ πρόγονοί μας ὅμως τόσο τοὺς πέρασαν ὅλους αὐτούς, ὥστε γιὰ τὸ χατήρι τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπὲρ μὲν Ἀργείων δυστυχησάντων Θηβαίοις, ὅτε μέγιστον ἐφρό-
65 *νησαν, ἐπιτάττοντες, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους Ἀρ-*
γείους καὶ τοὺς ἄλλους Πελοποννησίους μάχῃ κρατήσαντες, ἐκ δὲ
τῶν πρὸς Εὐρυσθέα κινδύνων τοὺς οἰκιστὰς καὶ τοὺς ἡγεμόνας τοὺς
Λακεδαιμονίων διασώσαντες. Ὥστε περὶ μὲν τῆς ἐν τοῖς Ἕλλησι
δυναστείας οὐκ οἶδ᾽ ὅπως ἄν τις σαφέστερον ἐπιδεῖξαι δυνηθείη.
66 *Δοκεῖ δέ μοι καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους τῇ πόλει πε-*
πραγμένων προσήκειν εἰπεῖν, ἄλλως τ᾽ ἐπειδὴ καὶ τὸν λόγον κατε-
στησάμην περὶ τῆς ἡγεμονίας τῆς ἐπ᾽ ἐκείνους. Ἅπαντας μὲν οὖν ἐξα-
ριθμῶν τοὺς κινδύνους λίαν ἂν μακρολογοίην· ἐπὶ δὲ τῶν μεγίστων
τὸν αὐτὸν τρόπον ὅνπερ ὀλίγῳ πρότερον πειράσομαι καὶ περὶ τούτων
67 *διελθεῖν. Ἔστι γὰρ ἀρχικώτατα μὲν τῶν γενῶν καὶ μεγίστας δυ-*
ναστείας ἔχοντα Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι, τυγχάνουσι δ᾽ οὗτοι
μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ πόλις πρὸς ἅπαντας τούτους
διακινδυνεύσασα. Καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν, ἢν ἐπι-
δειχθῶσι τῶν μὲν Ἑλλήνων οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων
ἡμᾶς ἱκετεύειν ἀξιοῦντες, τῶν δὲ βαρβάρων οἱ βουλόμενοι καταδουλώ-
σασθαι τοὺς Ἕλληνας ἐφ᾽ ἡμᾶς πρώτους ἰόντες;
68 *Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονεν,*
οὐ μὴν ἐλάττω τεκμήρια τὰ παλαιὰ τῶν ἔργων ἐστὶ τοῖς περὶ τῶν
πατρίων ἀμφισβητοῦσιν. Ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος ἦλ-
θον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετ᾽ Εὐμόλπου τοῦ Ποσειδῶ-
νος, Σκύθαι δὲ μετ᾽ Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν
αὐτὸν χρόνον, ἀλλὰ καθ᾽ ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, μισοῦντες
μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιη-
σάμενοι, νομίζοντες ἐκ τούτου τοῦ τρόπου πρὸς μίαν μὲν πόλιν κινδυ-
69 *νεύσειν, ἁπασῶν δ᾽ ἅμα κρατήσειν. Οὐ μὴν κατώρθωσαν, ἀλλὰ πρὸς*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

'Αργείων, όταν έπαθαν τή συμφορά εκείνη, επέβαλαν τή θέλησή τους στούς Θηβαίους, τή στιγμή μάλιστα πού έτοῦτοι ἦταν γεμάτοι έπαρση, πού νίκησαν. Έπειτα χάριν τῶν ἀπογόνων τοῦ Ἡρακλῆ νίκησαν πολεμώντας τούς 'Αργείους καί τούς ἄλλους Πελοποννησίους. Τέλος μέ τόν πόλεμο κατά τοῦ Εὐρυσθέα έσωσαν αὐτούς πού ἵδρυσαν τή Σπάρτη καί σήμερα τήν κυβερνοῦν. Ὕστερα ἀπ' ὅλα αὐτά δέν ξέρω μέ ποιόν τρόπο θά μποροῦσε νά ἀποδείξη κανείς σαφέστερα τό δικαίωμα πού έχουμε γιά τήν ἡγεμονία τῶν Ἑλλήνων. 65

Τώρα, νομίζω, ἦρθε ἡ ὥρα νά μιλήσω καί γιά τά κατορθώματα τῆς πόλης κατά τῶν Περσῶν, κυρίως γιατί βασικό θέμα τοῦ λόγου μου αὐτοῦ εἶναι ἡ ἡγεμονία τῆς ἐκστρατείας ἐναντίον τους. Ἂν ἀπαριθμοῦσα ὅμως ὅλους ἐκείνους τούς ἀγῶνες, θά έτρωγα χωρίς ἄλλο πολύ χρόνο· γι' αὐτό, ὅπως καί παραπάνω, θά σταθῶ μόνο στούς πιό σημαντικούς. 66

Οἱ Θράκες λοιπόν, οἱ Σκύθες[87] καί οἱ Πέρσες ὁπωσδήποτε εἶναι τά πιό πολεμικά ἀπό τά βαρβαρικά ἔθνη καί έχουν τήν πιό μεγάλη δύναμη. Ὅλοι αὐτοί τά βάλανε μαζί μας καί ἡ πόλη ἀντιμετώπισε σκληρούς ἀγῶνες ἐναντίον τους. Τί θά ἀπομείνη τώρα γιά ἐπιχείρημα σ' αὐτούς πού ὑποστηρίζουν τό ἀντίθετο, ἀφοῦ θά ἀποδειχτῆ ὅτι ὅσοι ἀπό τούς Ἕλληνες ἀδυνατοῦσαν νά βροῦν τό δίκιο τους σ' ἐμᾶς κατάφευγαν γιά προστασία καί ὅσοι ἀπό τούς βαρβάρους εἶχαν σκοπό νά ὑποδουλώσουν τούς Ἕλληνες πρῶτα τά έβαζαν μαζί μας; 67

'Από τούς πολέμους αὐτούς βέβαια ὁ πιό ὀνομαστός στάθηκε ὁ Περσικός. Ὅμως τά ἀρχαιότερα κατορθώματά μας δέν ἀποτελοῦν ἀπόδειξη μικρότερη γιά ὅσους προβάλουν δικαιώματα στό θέμα τῆς πατροπαράδοτης ἡγεμονίας. Θέλω νά πῶ πώς τόν καιρό πού ἡ Ἑλλάδα ἦτανε ταπεινή καί ἀσήμαντη ἦρθαν στή χώρα μας οἱ Θράκες μέ τόν Εὔμολπο[88], τό γιό τοῦ Ποσειδώνα, καί οἱ Σκύθες μέ τίς 'Αμαζόνες[89], τίς θυγατέρες τοῦ Ἄρη — ὄχι βέβαια τήν ἴδια ἐποχή, ἀλλά τά χρόνια πού τό καθένα ἔθνος ἀπό τά δυό αὐτά ἐπιχειροῦσε νά ἐπεκταθῆ καί στήν Εὐρώπη. Μισοῦσαν ὁπωσδήποτε ὅλους μαζί τούς Ἕλληνες, μά ἐπινόησαν προφάσεις γιά νά τά βάλουνε μέ ἐμᾶς ξεχωριστά, ἀκριβῶς γιατί πίστευαν πώς, πολεμώντας μόνο μέ τή δικιά μας πόλη, τήν ἴδια ὥρα θά ἐξασφάλιζαν κυριαρχία πάνω σέ ὅλους τούς Ἕλληνες. 68

Βέβαια δέν τά κατάφεραν. Μπορεῖ νά πολέμησαν μόνο μέ τούς 69

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*μόνους τοὺς προγόνους τοὺς ἡμετέρους συμβαλόντες ὁμοίως διεφθά-
ρησαν ὥσπερ ἂν εἰ πρὸς ἅπαντας ἀνθρώπους ἐπολέμησαν. Δῆλον δὲ τὸ
μέγεθος τῶν κακῶν τῶν γενομένων ἐκείνοις· οὐ γὰρ ἂν ποθ' οἱ λό-
γοι περὶ αὐτῶν τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ καὶ τὰ πραχθέντα
70 πολὺ τῶν ἄλλων διήνεγκεν. Λέγεται δ' οὖν περὶ μὲν Ἀμαζόνων ὡς
τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν, αἱ δ' ὑπολειφθεῖσαι διὰ
τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν, περὶ δὲ Θρᾳκῶν ὅτι
τὸν ἄλλον χρόνον ὅμοροι προσοικοῦντες ἡμῖν τοσοῦτον διὰ τὴν τότε
στρατείαν διέλιπον ὥστ' ἐν τῷ μεταξὺ τῆς χώρας ἔθνη πολλὰ καὶ
γένη παντοδαπά καὶ πόλεις μεγάλας κατοικισθῆναι.*

*71 Καλὰ μὲν οὖν καὶ ταῦτα καὶ πρέποντα τοῖς περὶ τῆς ἡγεμο-
νίας ἀμφισβητοῦσιν, ἀδελφὰ δὲ τῶν εἰρημένων καὶ τοιαῦθ' οἷά περ
εἰκὸς τοὺς ἐκ τοιούτων γεγονότας οἱ πρὸς Δαρεῖον καὶ Ξέρξην πολε-
μήσαντες ἔπραξαν. Μεγίστου γὰρ πολέμου συστάντος ἐκείνου καὶ
πλείστων κινδύνων εἰς τὸν αὐτὸν χρόνον συμπεσόντων, καὶ τῶν μὲν
πολεμίων ἀνυποστάτων οἰομένων εἶναι διὰ τὸ πλῆθος, τῶν δὲ συμ-
72 μάχων ἀνυπέρβλητον ἡγουμένων ἔχειν τὴν ἀρετήν, ἀμφοτέρων
κρατήσαντες ὡς ἑκατέρων προσῆκεν, καὶ πρὸς ἅπαντας τοὺς κιν-
δύνους διενεγκόντες, εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολλῷ
δ' ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον, δόντων μὲν τῶν ἄλλων
Ἑλλήνων, οὐκ ἀμφισβητούντων δὲ τῶν νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζη-
τούντων.*

*73 Καὶ μηδεὶς οἰέσθω μ' ἀγνοεῖν ὅτι καὶ Λακεδαιμόνιοι περὶ τοὺς
καιροὺς τούτους πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησιν κατέστησαν·
ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν ἔχω τὴν πόλιν, ὅτι τοιούτων ἀντα-
γωνιστῶν τυχοῦσα τοσοῦτον αὐτῶν διήνεγκεν. Βούλομαι δ' ὀλίγῳ
μακρότερα περὶ τοῖν πολέοιν εἰπεῖν καὶ μὴ ταχὺ λίαν παραδραμεῖν,
ἵν' ἀμφοτέρων ἡμῖν ὑπομνήματα γένηται, τῆς τε τῶν προγόνων ἀρε-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δικούς μας τοὺς προγόνους, ἔπαθαν ὅμως τέτοια συμφορά, σὰ νὰ τὰ ἔβαλαν μὲ ὅλο τὸν πληθυσμὸ τῆς γῆς. Θέλετε καὶ ἀπόδειξη γιὰ τὸ μέγεθος τῆς καταστροφῆς ποὺ τοὺς βρῆκε τότε; Ποτὲ ἡ παράδοση γι' αὐτὰ τὰ γεγονότα δὲ θὰ ἦταν τόσο ζωντανή, ἂν τὸ κατόρθωμα τὸ ἴδιο δὲν εἶχε ἐντελῶς ξεχωριστὴ σημασία.

Λένε μάλιστα γιὰ τὶς Ἀμαζόνες πώς, ἀπὸ ὅσες ἦρθαν ἐδῶ, κα- 70
μιὰ δὲ γύρισε πίσω· καὶ ὅσες πάλι ἀπόμειναν στὸν τόπο τους διώχτηκαν ἀπὸ τὴν ἐξουσία ποὺ εἶχαν, μόνο καὶ μόνο γιὰ τὸ κακὸ ποὺ ἔπαθαν ἐδῶ. Γιὰ τοὺς Θράκες ὕστερα, ποὺ εἶχαν τὰ ἴδια σύνορα μ' ἐμᾶς πρωτύτερα, λένε ὅτι μὲ ἐκείνη τὴν καταστροφὴ πῆγαν καὶ χώθηκαν τόσο βαθιά, ὥστε στὸν ἄδειο χῶρο, ποὺ ἄφησαν, ἐγκαταστάθηκαν ἔθνη πολλὰ καὶ διάφορες φυλὲς καὶ χτίστηκαν τεράστιες πόλεις.

Ἡ σπουδαιο- τητα τῶν Μη- δικῶν — Συμ- βολὴ Σπάρτη- καὶ Ἀθηνῶν.

Καλὰ καὶ ἄξια βέβαια εἶναι ὅλα αὐτὰ γιὰ ὅσους μὲ τὸ δίκιο τους 71
διεκδικοῦν τὴν ἡγεμονία τῆς Ἑλλάδας. Ὅμως κατορθώματα ἀνάλογα μὲ αὐτὰ καὶ ὅπως θὰ τὰ περίμενε κανένας ἀπὸ τοὺς ἀπογόνους τέτοιων προγόνων εἶναι ἐκεῖνα ποὺ ἔκαναν ὅσοι πολέμησαν μὲ τὸ Δαρεῖο καὶ τὸν Ξέρξη. Αὐτὸς ὁ πόλεμος βέβαια ἦταν ὁ φοβερώτερος ἀπὸ ὅλους, καὶ ἔπεσαν μαζεμένοι στὴν Ἑλλάδα κίνδυνοι πάμπολλοι τὴν ἴδια ἐποχή. Οἱ ἐχθροὶ πίστευαν πὼς ἦταν ἀκατάβλητοι γιὰ τὸ πλῆθος τους τὸ ἀμέτρητο, καὶ οἱ σύμμαχοί μας νόμιζαν πὼς ἡ παλικαριά τους δὲ βρίσκει τὸ ταίρι της. Παρ' ὅλα αὐτὰ οἱ πρόγονοί μας 72
καὶ νίκησαν καὶ τοὺς δυὸ — φυσικὰ μὲ τὸν τρόπο ποὺ στὸν καθένα ταίριαζε — καὶ στὶς μάχες ὅλες διακρίθηκαν. Γι' αὐτὸ καὶ κρίθηκαν ἀμέσως ἄξιοι γιὰ τὰ ἀριστεῖα καὶ πολὺ γρήγορα ἀπόχτησαν τὴν ἡγεμονία στὴ θάλασσα, ποὺ τοὺς τὴν ἔδωσαν οἱ ἄλλοι Ἕλληνες, χωρὶς νὰ τὴν ἀμφισβητοῦν οὔτε καὶ αὐτοὶ ποὺ ἐπιδιώκουν σήμερα νὰ μᾶς τὴν ἀφαιρέσουν[40].

Καὶ ἂς μὴ νομίση κανένας πὼς μοῦ διαφεύγει ὅτι καὶ οἱ Σπαρ- 73
τιάτες τὰ δύσκολα ἐκεῖνα χρόνια πρόσφεραν ἐξαιρετικὲς ὑπηρεσίες στὴν Ἑλλάδα. Ἴσα — ἴσα! Μὰ γι' αὐτὸ ἀκριβῶς κιόλας μπορῶ καὶ πλέκω τέτοιο ἐγκώμιο στὴν πόλη μας. Γιατὶ τῆς ἔλαχαν τέτοιοι ἀνταγωνιστὲς καὶ μπόρεσε νὰ τοὺς ξεπεράση τόσο. Μάλιστα θέλω νὰ πῶ περισσότερα γιὰ τὶς δυὸ πόλεις, νὰ μὴ μιλήσω σύντομα, γιὰ νὰ σᾶς βοηθήσω νὰ θυμηθῆτε ἀκριβῶς δυὸ πράγματα σπουδαῖα: Καὶ τὴν παλικαριὰ τῶν πατεράδων μας καὶ τὸ μίσος τους τὸ ἄσβηστο γιὰ τοὺς βαρβάρους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

74 *τῆς καὶ τῆς πρὸς τοὺς βαρβάρους ἔχθρας. Καίτοι μ' οὐ λέληθεν*
ὅτι χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν περὶ πραγμάτων πάλαι
προκατειλημμένων καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν
εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις εἰρήκασιν· ἀνάγκη γὰρ
τὰ μὲν μέγιστ' αὐτῶν ἤδη καταχεχρῆσθαι, μικρὰ δ' ἔτι παραλελεῖ-
φθαι. Ὅμως δ' ἐκ τῶν ὑπολοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν,
οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν.

75 *Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων ἐπαίνων ἀξίους*
ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκιν-
δυνεύσαντας· οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέμου τούτου γενομένων
καὶ δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν·
ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλή-
θη προτρέψαντες ἐπ' ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβά-
76 *ροις ποιήσαντες. Οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον*
μὲν ὡς ἰδίων, ἠμέλουν δ' ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων,
ἀπείχοντο δ' ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων· οὐδὲ πρὸς ἀργύ-
ριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ' οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστα-
τον κεκτῆσθαι καὶ κάλλιστον, ὅστις τοιαῦτα τυγχάνοι πράττων ἐξ
ὧν αὐτός τε μέλλοι μάλιστ' εὐδοκιμήσειν καὶ τοῖς παισὶν μεγίστην
77 *δόξαν καταλείψειν. Οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν,*
οὐδὲ τὰς τόλμας τὰς αὑτῶν ἤσκουν, ἀλλὰ δεινότερον μὲν ἐνόμιζον
εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς πόλεως ἀπο-
θνήσκειν, μᾶλλον δ' ᾐσχύνοντ' ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ νῦν
78 *ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. Τούτων δ' ἦν αἴτιον, ὅτι τοὺς*
νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ
τῶν ἰδίων συμβολαίων ὡς τοὺς περὶ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπι-
τηδευμάτων· ἠπίσταντο γὰρ ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Βέβαια δὲν ξεχνῶ πὼς εἶναι δύσκολη ἡ θέση μου, ἀφοῦ ἦρθα τε- 74
λευταῖος νὰ μιλήσω γιὰ θέματα ποὺ ἄλλοι τὰ καταπιάστηκαν ἀπὸ και-
ρὸ καὶ μίλησαν γι' αὐτὰ πολλὲς φορὲς σὲ λόγους ἐπιτάφιους οἱ πιὸ
δεινοὶ τῆς πόλης ρήτορες[41]. Εἶναι φυσικὸ τὰ πιὸ σπουδαῖα σημεῖα τους
νὰ ἔχουν πιὰ ἐξαντληθῆ καὶ νὰ ἔχουν ἀπομείνει μονάχα λεπτομέ-
ρειες. Καὶ αὐτὲς ὅμως, ἀφοῦ τὸ ἐπιβάλλει ἡ περίσταση, δὲ θὰ διστά-
σω νὰ τὶς ἀναφέρω.

Ἔπαινος τῶν προγόνων, ποὺ διαμόρφωσαν τὴ γενιὰ τῶν Μηδικῶν.

Βέβαια πρόσφεραν, νομίζω, παρὰ πολλὲς εὐεργεσίες καὶ ἀξίζουν 75
χωρὶς ἄλλο τὸν πιὸ μεγάλο ἔπαινο αὐτοὶ ποὺ πρόταξαν τὰ στήθη τους
γιὰ τὴν ἐλευθερία τῶν Ἑλλήνων[42]. Ὅμως σωστὸ δὲν εἶναι νὰ ξεχνοῦμε
καὶ ἐκείνους ποὺ ἔζησαν πρὶν ἀπὸ αὐτὸν τὸν πόλεμο[43] καὶ εἶχαν στὰ
χέρια τους τὴν τύχη τόσο τῆς μιᾶς ὅσο καὶ τῆς ἄλλης πολιτείας: Ἐ-
κεῖνοι εἶναι ποὺ ἄσκησαν τοὺς μεταγενέστερους, ἔδειξαν στὸ λαὸ τὸ
δρόμο γιὰ τὴν ἀρετὴ καὶ τὸν ἔκαμαν νὰ γίνη ὁ φόβος καὶ ὁ τρόμος
τῶν βαρβάρων.

Καὶ αὐτὸ γιατὶ δὲν ἔδειχναν ἀδιαφορία γιὰ τὰ δημόσια πράγμα- 76
τα, δὲν τὰ ἐκμεταλλεύονταν σὰ νὰ ἤτανε προσωπικό τους βιὸς ἀδια-
φορῶντας σύγκαιρα γι' αὐτά, σὰ νὰ ἦταν ξένα. Ἀντίθετα τὰ νοιάζον-
ταν μὲ τὴν καρδιά τους, σὰ νὰ ἤτανε δικό τους χτῆμα, μὰ ἀπομά-
κρυναν κάθε προσωπικὸ συμφέρο ἀπὸ αὐτά, ὅπως εἶναι σωστὸ νὰ γί-
νεται πάντα γιὰ πράγματα, ποὺ δὲ μᾶς ἀνήκουν. Οὔτε καὶ μετροῦσαν
τὴν εὐτυχία μὲ βάση τὴ χρηματικὴ περιουσία τοῦ καθένα· πλούτη
σπουδαῖα καὶ ἄξια πίστευαν πὼς ἔχει αὐτὸς μονάχα, ποὺ κάνει ὅσα
εἶναι γιὰ νὰ τοῦ ἐξασφαλίσουν τὸ πιὸ ἔντιμο ὄνομα καὶ γιὰ νὰ ἀφήση
στὰ παιδιά του κληρονομιὰ τὴν πιό μεγάλη δόξα.

Δὲ ζήλευαν ἐπίσης τὴν ἐπίδειξη παράτολμης παλικαριᾶς — γι' 77
αὐτὸ καὶ δὲν ἔπαιρναν μέτρα γιὰ νὰ ἀσκηθῆ ἡ τόλμη τους. Παρ' ὅλα
αὐτά τοὺς ἦταν πιὸ ὀδυνηρὸ νὰ τοὺς κακολογοῦν οἱ συμπολίτες τους,
παρὰ νὰ δώσουν τὴ ζωή τους τιμημένα ὑπερασπίζοντας τὴν πόλη·
καὶ περισσότερη ντροπὴ τοὺς ἔφερνε τὸ σφάλμα ποὺ εἶχε ἀντίχτυπο
στὸ κοινὸ συμφέρο ἀπὸ ὅση νιώθουμε σήμερα ἐμεῖς γιὰ τὰ προσωπι-
κά μας λάθη. Αὐτὸ ὀφείλεται βασικὰ στὸ γεγονὸς ὅτι ἀγρυπνοῦσαν 78
πάντα γιὰ τὴ δικαιοσύνη καὶ τὴ σωστὴ ἐφαρμογὴ τῶν νόμων — ὄχι
τόσο γι' αὐτοὺς ποὺ ἀναφέρονταν σὲ ἰδιωτικὲς συναλλαγές, ὅσο γι'
αὐτοὺς ποὺ ρύθμιζαν τὶς καθημερινὲς κοινωνικὲς σχέσεις τῶν πολι-
τῶν. Ἤξεραν δὰ ὅτι οἱ τίμιοι ἄνθρωποι δὲ χρειάζονταν πολλὲς γρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδὲν δεήσει πολλῶν γραμμάτων, ἀλλ' ἀπ' ὀλίγων συνθημάτων ῥᾳ-
79 δίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν. Οὕτω
δὲ πολιτικῶς εἶχον ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους,
οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν,
ἀλλ' ὁπότεροι φθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες· καὶ τὰς
ἑταιρείας συνῆγον οὐχ ὑπὲρ τῶν ἰδίᾳ συμφερόντων, ἀλλ' ἐπὶ τῇ τοῦ
80 πλήθους ὠφελείᾳ. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν,
θεραπεύοντες, ἀλλ' οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας, καὶ στρατηγεῖν
οἰόμενοι δεῖν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν, καὶ μᾶλλον ἐπιθυμοῦντες
ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶ-
νες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ' οὐ βίᾳ
81 καταστρεφόμενοι, πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις
χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες,
οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες ὡς ἐπὶ τῷ σωφρόνως
ζῆν φιλοτιμούμενοι, τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥτ-
τους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς, ἴδια μὲν ἄστη τὰς αὑτῶν
πόλεις ἡγούμενοι κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

82 Τοιαύταις διανοίαις χρώμενοι καὶ τοὺς νεωτέρους ἐν τοῖς τοι-
ούτοις ἤθεσιν παιδεύοντες οὕτως ἄνδρας ἀγαθοὺς ἀπέδειξαν τοὺς πο-
λεμήσαντας πρὸς τοὺς ἐκ τῆς Ἀσίας ὥστε μηδένα πώποτε δυνηθῆναι
περὶ αὐτῶν μήτε τῶν ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις
πεπραγμένων εἰπεῖν. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· ὁμοίως γάρ
ἐστιν χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετὰς
ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας· τοῖς μὲν γὰρ οὐχ ὕπεισι πρά-
83 ξεις, περὶ δὲ τοὺς οὐκ εἰσὶν ἁρμόττοντες λόγοι. Πῶς γὰρ ἂν γένοιντο
σύμμετροι τοιούτοις ἀνδράσιν, οἳ τοσοῦτον μὲν τῶν ἐπὶ Τροίαν στρα-
τευσαμένων διήνεγκαν ὅσον οἱ μὲν περὶ μίαν πόλιν [στρατεύσαντες]
ἔτη δέκα διέτριψαν, οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύναμιν ἐν ὀλί-
γῳ χρόνῳ κατεπολέμησαν, οὐ μόνον δὲ τὰς αὑτῶν πατρίδας διέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτὲς διατυπώσεις· μιὰ ἁπλὴ ἔντιμη συμφωνία εὔκολα θὰ μποροῦσε νὰ στηρίξη καὶ τὶς προσωπικὲς καὶ τὶς δημόσιες συναλλαγές τους.

Καὶ εἶχαν τέτοια πολιτικὴ συνείδηση, ὥστε ὁ ἀνταγωνισμὸς ἀνά- 79
μεσα στὰ κόμματα εἶχε σκοπὸ ὄχι βέβαια ποιό θὰ ἐξοντώση τὸ ἄλλο, γιὰ νὰ ἀναλάβη ὕστερα τὴν ἐξουσία, ἀλλὰ ποιό θὰ πρωτοπροσφέρη τὶς ἀγαθὲς ὑπηρεσίες του στὴν πόλη. Καὶ τὰ πολιτικά τους κόμματα δὲν ἀπόβλεπαν σὲ κομματικὰ ὀφέλη, ἀλλὰ ἐξυπηρετοῦσαν μόνο τοῦ συνόλου τὰ συμφέροντα.

Μὲ τὸν ἴδιο ἀκριβῶς τρόπο ρύθμιζαν καὶ τὶς σχέσεις τους μὲ 80
τὶς ἄλλες πόλεις, τὶς συμμαχικές: Προστάτευαν τοὺς Ἕλληνες καὶ δὲν τοὺς καταπίεζαν· θεωροῦσαν χρέος τους νὰ εἶναι οἱ στρατηγοί τους καὶ ὄχι οἱ τύραννοί τους· προτιμοῦσαν νὰ τοὺς ἀποκαλοῦν ἡγέ-
τες καὶ ὄχι ἀφεντικά, σωτῆρες καὶ ὄχι ἐξολοθρευτές. Ἔπαιρναν μὲ τὸ 81
μέρος τους τὶς πόλεις μὲ τὶς εὐεργεσίες τους καὶ δὲν τοὺς ἀνάγκαζαν μὲ τὴ βία, καὶ ἦταν ὁ λόγος τους πιὸ ἀξιόπιστος ἀπὸ ὅ,τι εἶναι σήμερα οἱ ὅρκοι. Εἴχανε τὴν ἀξίωση οἱ συμφωνίες καὶ οἱ συνθῆκες νὰ εἶναι ἀπαραβίαστες σὰν τὴν ἀνάγκη· ὄχι πὼς εἶχαν καμιὰ ἔπαρση, ποὺ ἦταν οἱ ἀρχηγοί, ἀλλὰ καμάρωναν πραγματικὰ γιὰ τὴ ζωή τους, ποὺ ἦταν μετρημένη καὶ ἄψογη. Ἔνιωθαν ἀκόμα χρέος τους στοὺς κατώτερους νὰ φέρωνται ὅπως θὰ ἤθελαν οἱ ἴδιοι νὰ φέρωνται οἱ ἀνώτεροι σ' αὐτούς. Τέλος ὁ καθένας ἔβλεπε τὴν πόλη του σὰν ἰδιαίτερα δικό του τόπο, μὰ ἔνιωθε γιὰ κοινὴ πατρίδα ὅλων τὴν Ἑλλάδα.

Ἡ συμβολὴ τῶν Ἀθηνῶν στὰ Μηδικά.

Μὲ τὶς ἀρχὲς αὐτὲς καὶ αὐτὰ τὰ ἤθη ἀνάθρεψαν τὴ νέα γενιὰ καὶ 82
ἀνάδειξαν σὲ τέτοια παλικάρια αὐτούς, ποὺ ἀντιμετώπισαν τὴν ἐπιδρομὴ τῶν ἐχθρῶν ἀπὸ τὴν Ἀσία, ὥστε κανεὶς ποτέ, ρήτορας ἢ ποιητής, δὲ μπόρεσε νὰ γράψη τίποτα ἀντάξιο στὶς λαμπρὲς πράξεις ἐκείνων. Καὶ τοὺς δικαιολογῶ ἀπόλυτα: Εἶναι τὸ ἴδιο δύσκολο νὰ βρῆς ἐπαίνους γιὰ ἐκείνους ποὺ ἔχουν ξεπεράσει τὶς ἀρετὲς τῶν ἄλλων, ὅσο καὶ γι' αὐτοὺς ποὺ δὲν ἔχουνε κάνει τίποτα ἀξιόλογο: Σὲ τούτους δὲ βρίσκεις τί νὰ ἐπαινέσης, σ' ἐκείνους πάλι ποῦ νὰ βρῆς λόγια ποὺ νὰ ἀποδώσουν ταιριαστὰ τὶς πράξεις τους!

Καὶ πράγματι πῶς νὰ βρεθοῦνε λόγοι ταιριαστοὶ γιὰ τέτοιους 83
ἄντρες, ποὺ ξεπέρασαν τόσο πολὺ ἐκείνους ποὺ πολέμησαν στὴν Τροία; Ἐκεῖνοι δέκα χρόνια ὁλόκληρα χρειάστηκαν γιὰ μιὰ μονάχα πόλη· ἐτοῦτοι μόνο σὲ λίγο χρόνο ὅλες τὶς ἀσιατικὲς δυνάμεις κατατρόπωσαν. Καὶ δὲν ἔσωσαν μόνο τὴν πατρίδα του ὁ καθένας, ἀλλὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σωσαν, ἀλλὰ καὶ τὴν σύμπασαν Ἑλλάδ' ἠλευθέρωσαν; Ποίων δ' ἂν ἔργων ἢ πόνων ἢ κινδύνων ἀπέστησαν ὥστε ζῶντες εὐδοκιμεῖν, οἵτινες ὑπὲρ τῆς δόξης ἧς ἤμελλον τελευτήσαντες ἕξειν οὕτως ἑτοίμως
84 *ἤθελον ἀποθνήσκειν; Οἶμαι δὲ καὶ τὸν πόλεμον θεῶν τινὰ συναγαγεῖν ἀγασθέντα τὴν ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενόμενοι τὴν φύσιν διαλάθοιεν μηδ' ἀκλεῶς τὸν βίον τελευτήσαιεν, ἀλλὰ τῶν αὐτῶν τοῖς ἐκ τῶν θεῶν γεγονόσιν καὶ καλουμένοις ἡμιθέοις ἀξιωθεῖεν· καὶ γὰρ ἐκείνων τὰ μὲν σώματα ταῖς τῆς φύσεως ἀνάγκαις ἀπέδοσαν, τῆς δ' ἀρετῆς ἀθάνατον τὴν μνήμην ἐποίησαν.*

85 *Ἀεὶ μὲν οὖν οἵ θ' ἡμέτεροι πρόγονοι καὶ Λακεδαιμόνιοι φιλοτίμως πρὸς ἀλλήλους εἶχον, οὐ μὴν ἀλλὰ περὶ καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονίκησαν, οὐκ ἐχθρούς, ἀλλ' ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νομίζοντες, οὐδ' ἐπὶ δουλείᾳ τῇ τῶν Ἑλλήνων τὸν βάρβαρον θεραπεύοντες, ἀλλὰ περὶ μὲν τοῖς κοινῆς σωτηρίας ὁμονοοῦντες, ὁπότεροι δὲ ταύτης αἴτιοι γενήσονται, περὶ τούτου ποιούμενοι τὴν ἅμιλλαν. Ἐπεδείξαντο δὲ τὰς αὐτῶν ἀρετὰς πρῶτον μὲν ἐκ τοῖς*
86 *ὑπὸ Δαρείου πεμφθεῖσιν. Ἀποβάντων γὰρ αὐτῶν εἰς τὴν Ἀττικὴν οἱ μὲν οὐ περιέμειναν τοὺς συμμάχους, ἀλλὰ τὸν κοινὸν πόλεμον ἴδιον ποιησάμενοι πρὸς τοὺς ἁπάσης τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων τὴν οἰκείαν δύναμιν ἔχοντες, ὀλίγοι πρὸς πολλὰς μυριάδας, ὥσπερ ἐν ἀλλοτρίαις ψυχαῖς μέλλοντες κινδυνεύσειν, οἱ δ' οὐκ ἔφθασαν πυθόμενοι τὸν περὶ τὴν Ἀττικὴν πόλεμον καὶ πάντων τῶν ἄλλων ἀμελήσαντες ἧκον ἡμῖν ἀμυνοῦντες, τοσαύτην ποιησάμενοι σπουδὴν ὅσην περ ἂν τῆς αὐτῶν χώρας πορθουμένης. Σημεῖον δὲ τοῦ τάχους καὶ τῆς*
87 *ἁμίλλης· τοὺς μὲν γὰρ ἡμετέρους προγόνους φασὶν τῆς αὐτῆς ἡμέρας πυθέσθαι τε τὴν ἀπόβασιν τὴν τῶν βαρβάρων καὶ βοηθήσαντας ἐπὶ τοὺς ὅρους τῆς χώρας μάχῃ νικήσαντας τρόπαιον στῆσαι τῶν πολεμίων, τοὺς δ' ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ διακόσια καὶ χίλια στάδια διελθεῖν στρατοπέδῳ πορευομένους· οὕτω σφόδρ' ἠπείχθη-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐξασφάλισαν καὶ τὴν ἐλευθερία ὅλης τῆς Ἑλλάδας. Καὶ ποιά τάχα πράξη ἢ προσπάθεια ἢ κίνδυνο ἀπόφυγαν, γιὰ νὰ ἔχουν ὅσο ζοῦσαν τὸ μέτωπο ψηλά, ἀφοῦ καὶ γιὰ τὴ δόξα, ποὺ θὰ ἀποχτοῦσαν μετὰ θάνατο, δέχτηκαν νὰ πεθάνουν τόσο πρόθυμα;

Μάλιστα σκέφτομαι πὼς κάποιος θεός, ἀπὸ τὴν παλικαριά τους 84
θαμπωμένος, ξεσήκωσε τὸν πόλεμο αὐτό, λεβέντες τέτοιοι νά μὴν πᾶν χαμένοι οὔτε καὶ νὰ τελειώσουν τὴ ζωή τους ἄδοξα, ἀλλὰ νὰ ἀξιωθοῦν τὴν ἴδια δόξα καὶ τιμὴ ποὺ χαίρονται οἱ ἡμίθεοι, οἱ γεννημένοι ἀπὸ τοὺς θεούς· γιατὶ καὶ ἐκεῖνοι βέβαια παράδωσαν τὸ σῶμα τους στὸ θάνατο, ὑποκύπτοντας στὴν ἀνάγκη τῆς ἀνθρώπινης φύσης τους, ἄφησαν ὅμως ἀθάνατη μνήμη τῆς ἀρετῆς τους[44].

Ἀνέκαθεν βέβαια οἱ πρόγονοί μας καὶ οἱ Σπαρτιάτες εἶχαν με- 85
γάλο ἀνταγωνισμὸ ἀνάμεσά τους, ὅμως τὰ χρόνια ἐκεῖνα ἀνταγωνίστηκαν γιὰ ἕναν ὡραιότατο σκοπό. Δὲν ἔβλεπαν ὁ ἕνας τὸν ἄλλο μὲ μίσος ἐχθρικά, ἀλλὰ ἀντικρίζονταν ἀντίπαλοι εὐγενικοὶ γιὰ τὰ πρωτεῖα τῆς ἀρετῆς. Δὲν κολακεύανε τὸ βάρβαρο, γιὰ νὰ ὑποδουλώσουν τὴν Ἑλλάδα μὲ τὴ δικιά του συνδρομή[45], ἀλλὰ μπροστὰ στὴ σωτηρία τῶν Ἑλλήνων ὁμονοοῦσαν πάντα καὶ ἀνταγωνίζονταν μονάχα ποιός ἀπὸ τοὺς δυὸ θὰ συντελέση περισσότερο σ' αὐτή. Καὶ πρῶτα — πρῶτα ἔδειξαν τὴν παλικαριά τους σ' ἐκείνους ποὺ ἔστειλε ὁ Δαρεῖος[46]. Δη- 86
λαδή, ὅταν ἀποβιβάστηκαν στὴν Ἀττικὴ οἱ Πέρσες, οἱ Ἀθηναῖοι δὲν περίμεναν τοὺς συμμάχους, ἀλλὰ θεώρησαν προσωπικὴ ὑπόθεσή τους τὸν κοινὸ ἀγώνα τῶν Ἑλλήνων καὶ ἀντιμετώπισαν μόνο μὲ τὴ δικιά τους δύναμη αὐτοὺς ποὺ ἔδειξαν καταφρόνεση γιὰ ὅλη τὴν Ἑλλάδα— μιὰ χούφτα ἄνθρωποι ἐνάντια σὲ πολλὲς μυριάδες — σὰ νὰ διακινδύνευαν ζωὲς ποὺ δὲν ἦταν δικές τους. Οἱ ἄλλοι πάλι δὲν πρόλαβαν νὰ μάθουν τὸ πόλεμο στὴν Ἀττικὴ καί, ἀφήνοντας στὴν ἄκρη κάθε ἄλλη ἔγνοια τους, ἔτρεξαν νὰ μᾶς βοηθήσουν, μὲ τόση μάλιστα σπουδή, ὅση θὰ ἔδειχναν, ἂν θὰ ἐκπορθοῦσαν οἱ ἐχθροὶ τὴν ἴδια τους τὴ χώρα[47].

Νὰ τώρα καὶ ἡ ἀπόδειξη γιὰ τὴν εὐγενικιά τους ἅμιλλα καὶ τὴ 87
σπουδή τους: Τὴν ἴδια μέρα, λένε, ποὺ οἱ πρόγονοί μας ἔμαθαν τὴν ἀπόβαση τῶν βαρβάρων ἔτρεξαν νὰ ὑπερασπίσουν τὰ σύνορα τῆς χώρας καί, ἀφοῦ τοὺς νίκησαν στὴ μάχη, ἔστησαν τρόπαιο[48] τοῦ θριάμβου τους ἐνάντια στοὺς ἐχθρούς. Οἱ Σπαρτιάτες πάλι σὲ τρεῖς μονάχα μέρες καὶ ἄλλες τόσες νύχτες κατάφεραν νὰ διασχίσουν χίλια διακόσια στάδια[49], μάλιστα μὲ ρυθμὸ πορείας στρατιωτικῆς. Τόσο πολὺ βιαστήκανε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σαν οἱ μὲν μετασχεῖν τῶν κινδύνων, οἱ δὲ φθῆναι συμβαλόντες πρὶν
88 ἐλθεῖν τοὺς βοηθήσοντας. Μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἥν αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια, στρατηγὸς δὲ καταστῆναι τολμήσας, ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας· περὶ οὗ τίς οὐχ ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν ἐλάττω τῶν
89 ὑπαρχόντων εἴρηκεν; Ὃς εἰς τοσοῦτον ἦλθεν ὑπερηφανίας ὥστε μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν Ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτον μνημεῖον καταλιπεῖν ὃ μὴ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, οὐ πρότερον ἐπαύσατο πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν ὃ πάντες θρυλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω
90 διορύξας. Πρὸς δὴ τὸν οὕτω μέγα φρονήσαντα καὶ τηλικαῦτα διαπραξάμενον καὶ τοσούτων δεσπότην γενόμενον ἀπήντων διελόμενοι τὸν κίνδυνον, Λακεδαιμόνιοι μὲν εἰς Θερμοπύλας πρὸς τὸ πεζόν, χιλίους αὐτῶν ἐπιλέξαντες καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες, ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν, οἱ δ' ἡμέτεροι πατέρες ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις πληρώσαντες
91 πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν. Ταῦτα δὲ ποιεῖν ἐτόλμων οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες ὡς πρὸς ἀλλήλους ἀγωνιῶντες, Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς Μαραθῶνι μάχης καὶ ζητοῦντες αὐτοὺς ἐξισῶσαι καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία γένηται τοῖς Ἕλλησιν τῆς σωτηρίας, οἱ δ' ἡμέτεροι [πρόγονοι] μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν δόξαν καὶ πᾶσι ποιῆσαι φανερὸν ὅτι καὶ τὸ πρότερον δι' ἀρετήν, ἀλλ' οὐ διὰ τύχην ἐνίκησαν, ἔπειτα καὶ προαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν, ἐπιδείξαντες αὐτοῖς ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις ὥσπερ
92 ἐν τοῖς πεζοῖς τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην. Ἴσας δὲ τὰς τόλμας παρασχόντες οὐχ ὁμοίαις ἐχρήσαντο ταῖς τύχαις, ἀλλ' οἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ οἱ δυό, οἱ Σπαρτιάτες γιὰ νὰ λάβουν μέρος στὸν ἀγώνα καὶ οἱ Ἀθηναῖοι γιὰ νὰ ἀγωνιστοῦν πρὶν νὰ ἔρθη ἡ βοήθεια.

Ὕστερα ἀπὸ αὐτὰ ἔγινε ἡ δεύτερη ἐκστρατεία[50], ποὺ τὴ διεύθυνε 88
προσωπικὰ ὁ Ξέρξης, ἀφοῦ ἄφησε τὰ παλάτια του καὶ τόλμησε νὰ γίνη ἀρχιστράτηγος καὶ ἀφοῦ ξεσήκωσε μαζί του ὅλους τοὺς Ἀσιάτες. Γι' αὐτὸν ὅσες ὑπερβολὲς καὶ ἂν πῆς, πάλι πιὸ κάτω ἀπὸ τὴν πραγματικότητα θὰ εἶναι. Εἶχε μιὰ τέτοια ἀλαζονεία καὶ ἔπαρση, ὥστε θε- 89
ώρησε ἀσήμαντο κατόρθωμα νὰ ὑποτάξη τὴν Ἑλλάδα καί, ἔχοντας τὴ φιλοδοξία νὰ ἀφήση στὴν ἀνθρωπότητα μνημεῖο ποὺ νὰ ξεπεράση κάθε δυνατότητα ἀνθρώπινη, δὲν ἡσύχασε παρὰ μόνο ἀφοῦ σοφίστηκε καὶ ἀνάγκασε νὰ γίνη αὐτὸ ποὺ ὅλοι ἔχουν νὰ τὸ λένε: Νὰ διαβῆ τὸ πεζικὸ μέσα ἀπὸ τὴ θάλασσα, μὲ τὸ γεφύρι στὸν Ἑλλήσποντο, καὶ νὰ διαπλεύση ὁ στρατὸς του τὴ στεριά, μὲ τὴ διώρυγα στὸν Ἄθω. Λοιπὸν αὐτὸν τὸν ἄνθρωπο, ποὺ τόσο τὸ εἶχε πάρει ἀπάνω του, ποὺ 90
τόσο μεγάλα ἔργα τεχνικὰ κατάφερε, ποὺ ἦταν ἀφέντης καὶ μονάρχης σὲ τόσα πλήθη ἀμέτρητα, οἱ πρόγονοί μας τὸν ἀντιμετώπισαν μοιράζοντας ἰσότιμα τὸ βάρος τοῦ κινδύνου: Οἱ Σπαρτιάτες στὶς Θερμοπύλες, στὸ πεζικό του ἀντιμέτωποι, μὲ χίλια[51] δικά τους παλικάρια διαλεχτὰ καὶ ἀπὸ τοὺς συμμάχους λίγους[52], γιὰ νὰ τὸν ἐμποδίσουν στὸ στενὸ νὰ προχωρήση πρὸς τὰ κάτω, καὶ οἱ δικοί μας πατεράδες στὸ Ἀρτεμίσιο μὲ ἑξήντα πολεμικὰ καράβια[53] ἀπέναντι σὲ ὅλο τὸ στόλο τῶν ἐχθρῶν.

Εἶχαν τὴν τόλμη νὰ κάνουν τέτοια κατορθώματα ὄχι τόσο γιατὶ 91
καταφρονοῦσαν τὸν ἐχθρό, ὅσο γι' αὐτὴ τὴν ἅμιλλα ποὺ εἶχαν μεταξύ τους: Οἱ Σπαρτιάτες, ζηλεύοντας τὴν πόλη μας γιὰ τὸ θρίαμβό της στὸ Μαραθώνα, λαχταροῦσαν νὰ ἐξισωθοῦν μαζί μας καὶ εἶχαν πάντα τὸ φόβο μήπως δυὸ φορὲς στὴ σειρὰ ἡ πόλη μας ἐξασφαλίση μόνη της τὴ σωτηρία τῆς Ἑλλάδας. Οἱ δικοί μας πάλι ποθοῦσαν πρῶτα - πρῶτα νὰ διατηρήσουν τὴ δόξα ποὺ ἀπόχτησαν καὶ νὰ κάμουν σὲ ὅλον τὸν κόσμο φανερὸ ὅτι καὶ πρὶν μὲ τὴν παλικαριά τους νίκησαν καὶ ὄχι μὲ τὴ βοήθεια τῆς τύχης, καὶ ἔπειτα εἶχανε σκοπὸ νὰ ξεσηκώσουν τοὺς Ἕλληνες σὲ ναυτικὸ ἀγώνα κατὰ τῶν Περσῶν, μὲ τὸ παράδειγμά τους ἀποδείχνοντας πὼς καὶ στοὺς ναυτικοὺς ἀγῶνες, ἀκριβῶς ὅπως καὶ στοὺς ἀγῶνες τῆς στεριᾶς, ἡ παλικαριὰ πάντα νικάει τὴν ἀριθμητικὴ ὑπεροχή.

Τὴν ἴδια λοιπὸν τόλμη ἔδειξαν καὶ οἱ δυό, ὅμως δὲν εἶχαν καὶ 92

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν διεφθάρησαν καὶ ταῖς ψυχαῖς νικῶντες τοῖς σώμασιν ἀπεῖπον,
οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν ὡς ἡττήθησαν· οὐδεὶς γὰρ αὐτῶν φυ-
γεῖν ἠξίωσεν· οἱ δ' ἡμέτεροι τὰς μὲν πρόπλους ἐνίκησαν, ἐπειδὴ δ'
ἤκουσαν τῆς παρόδου τοὺς πολεμίους κρατοῦντας, οἴκαδε καταπλεύ-
σαντες [καὶ κατασκευάσαντες τὰ περὶ τὴν πόλιν] οὕτως ἐβουλεύ-
σαντο περὶ τῶν λοιπῶν ὥστε πολλῶν καὶ καλῶν αὐτοῖς προειρ-
γασμένων ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἔτι πλέον διήνεγ-
93 *καν. Ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων, καὶ Πε-*
λοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν καὶ ζητούντων ἰδίαν
αὑτοῖς σωτηρίαν, τῶν δ' ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενη-
μένων καὶ συστρατευομένων ἐκείνοις πλὴν εἴ τις διὰ μικρότητα πα-
ρημελήθη, προσπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων καὶ πε-
ζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰσβάλλειν,
οὐδεμιᾶς σωτηρίας αὐτοῖς ὑποφαινομένης, ἀλλ' ἔρημοι συμμάχων
94 *γεγενημένοι καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες, ἐξὸν αὐτοῖς*
μὴ μόνον τοὺς παρόντας κινδύνους διαφυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαι-
ρέτους λαβεῖν ἃς αὐτοῖς ἐδίδου βασιλεὺς ἡγούμενος, εἰ τὸ τῆς πόλεως
προσλάβοι ναυτικόν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν, οὐχ
ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεὰς οὐδ', ὀργισθέντες τοῖς Ἕλλησιν
ὅτι προυδόθησαν, ἀσμένως ἐπὶ τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβά-
95 *ρους ὥρμησαν, ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρε-*
σκευάζοντο, τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην
εἶχον. Ἡγοῦντο γὰρ ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐκ
παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ταῖς δὲ προεστάναι τῆς Ἑλλά-
δος ἀξιούσαις οὐχ οἷόν τ' εἶναι διαφεύγειν τοὺς κινδύνους, ἀλλ'
ὥσπερ τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστιν καλῶς
ἀποθανεῖν ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς ὑπερεχούσαις
λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ δούλαις ὀφθῆναι γε-
96 *νομέναις. Δῆλον δ' ὅτι ταῦτα διενοήθησαν· ἐπειδὴ γὰρ οὐχ οἷοί τ'*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν τύχη ἴδια: Ἐκεῖνοι χάθηκαν στὴ μάχη. Μὲ τὶς ψυχές τους νίκη-
σαν, μὰ τὰ κορμιὰ δὲν ἄντεξαν· δὲν ἐπιτρέπεται λοιπὸν νὰ ποῦμε πὼς
νικήθηκαν· ἀφοῦ κανένας μάλιστα δὲ δέχτηκε νὰ φύγη. Οἱ πρόγονοί
μας πάλι νίκησαν βέβαια τὴν πρώτη μοίρα τοῦ στόλου τοῦ ἐχθρικοῦ,
μά, ὅταν ἔμαθαν πὼς οἱ ἐχθροὶ ἦταν πιὰ κύριοι στὶς Θερμοπύλες, γύ-
ρισαν στὴν πατρίδα τους, ὀργάνωσαν τὴν ἄμυνα καὶ πῆραν τέτοιες ἀπο-
φάσεις γιὰ τὴν τακτικὴ ποὺ θὰ ἀκολουθοῦσαν παραπέρα, ὥστε ξεπέ-
ρασαν σ' αὐτὲς τὶς τελευταῖες μάχες ὅλα τὰ προηγούμενα λαμπρά τους
κατορθώματα. Τὴν ὥρα δηλαδὴ ποὺ ὅλοι οἱ σύμμαχοι εἶχαν χάσει τὸ 93
θάρρος τους καὶ οἱ Πελοποννήσιοι ἔχτιζαν τεῖχος στὸν Ἰσθμό, γιὰ
νὰ ἐξασφαλίσουν τὴ δικιά τους μόνο σωτηρία· τὴν ὥρα ποὺ οἱ ἄλλες πό-
λεις εἶχαν πέσει στὰ χέρια τῶν ἐχθρῶν καὶ εἶχαν μάλιστα ἐκστρατεύ-
σει καὶ μαζί τους — ἐξὸν καμιὰ ἀσήμαντη, ποὺ δὲν τὴ λογάριασαν·
τὴν ὥρα ποὺ χίλια διακόσια πολεμικὰ καράβια[54] ἔπλεαν ἐναντίον τους,
ἐνῶ ἀναρίθμητος στρατὸς[55] ἀπὸ τὴ στεριὰ ἦταν νὰ μπῆ στὴν Ἀττική·
τὴν ὥρα ποὺ καμιὰ ἐλπίδα σωτηρίας δὲν κρυφόλαμπε ἀπὸ πουθενὰ καὶ
ἦταν ἀπὸ συμμάχους ἔρημοι, γυμνοὶ ἀπὸ κάθε ἐλπίδα· τὴν ὥρα ποὺ ἦταν 94
στὸ χέρι τους ὄχι μονάχα ἀπὸ κείνους τοὺς κινδύνους νὰ γλιτώσουν,
ἀλλὰ καὶ ἕνα σωρὸ προνόμια προσωπικὰ νὰ ἐξασφαλίσουν, ὅπως ὑπό-
σχονταν ὁ Ξέρξης[56], ἂν θὰ τοῦ ἔδιναν τὸ ναυτικὸ τῆς πόλης—πίστευε,
βλέπετε, πὼς ἔτσι θὰ κυριαρχοῦσε ἀμέσως καὶ στὴν Πελοπόννησο·
τὴν ὥρα αὐτή, τὴν κρισιμότατη γιὰ κείνους, δὲ δέχτηκαν τὶς προ-
σφορές του οὔτε καὶ ἔτρεξαν πρὸς τὶς προτάσεις τῶν βαρβάρων γιὰ
συνθηκολόγηση ὀργισμένοι μὲ τοὺς ἄλλους Ἕλληνες, ποὺ τοὺς εἶχαν
προδώσει[57]. Ἀντίθετα: οἱ ἴδιοι ἑτοιμάζονταν νὰ ἀγωνιστοῦν ἀγώνα 95
ἔσχατο γιὰ τὴν Ἐλευθερία, χωρὶς νὰ νιώθουν ὅμως καὶ καμιὰ μνησι-
κακία γιὰ τοὺς ἄλλους, ποὺ προτιμοῦσαν τὴ σκλαβιά. Πίστευαν, βλέ-
πετε, πὼς οἱ μικρὲς καὶ ἀσήμαντες πόλεις ἔχουνε τὸ δικαίωμα νὰ ἐπι-
ζητοῦν τὴ σωτηρία τους μὲ κάθε μέσο· ἐκεῖνες ὅμως ποὺ ἔχουν τὴν
ἀξίωση νὰ ρυθμίζουν τὴν τύχη τῆς Ἑλλάδας δὲν εἶναι δυνατὸ νὰ ἀπο-
φεύγουν τοὺς κινδύνους. Ὅπως γιὰ κάθε τίμιο καὶ ἄξιο ἄνθρωπο ἕνας
ἔνδοξος θάνατος εἶναι προτιμότερος ἀπὸ μιὰ ζωὴ βουτηγμένη στὴν
ντροπή, ἔτσι καὶ γιὰ τὶς πόλεις ποὺ ξεχωρίζουν ἀπὸ τὶς ἄλλες εἶναι
πιὸ ὠφέλιμο νὰ ἐξαφανιστοῦν ἀπὸ τὸ πρόσωπο τῆς γῆς παρὰ νὰ τὶς
δοῦνε ντροπιασμένες στὴ σκλαβιά.

Εἶναι φανερὸ πὼς ἡ σκέψη αὐτὴ στάθηκε ὁδηγός τους. Καὶ ἀφοῦ 96

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ῆσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως, εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν ἵν' ἐν μέρει πρὸς ἑκατέραν κινδυνεύσωσιν. Καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδειχθεῖεν οἵτινες ἔτλησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γενομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ τὸν πόλεμον περὶ τὴν πατρίδα τὴν αὐτῶν γιγνόμενον;
97 *Καὶ οὐδὲ ταῦτ' ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας τριήρεις μόνοι διαναυμαχεῖν ἐμέλλησαν. Οὐ μὴν εἰάθησαν· καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες προδιαφθαρέντων μὲν τῶν ἡμετέρων οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δ' εἰς ἀτιμίαν τὰς αὐτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τῷ πράγματι γενομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων*
98 *ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ' ὅ τι δεῖ λέγοντα διατρίβειν· ἃ δ' ἐστὶν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον ἐστὶν εἰπεῖν. Τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ' ἦν ἀκέραιος, ὥστ' ἀνάστατος γενομένη πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος ἢ σύμπαντες οἱ ναυμαχήσαντες, οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς ὅστις οὐκ ἂν ὁμολογήσειεν διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πο-*
99 *λέμῳ κρατῆσαι, ταύτης δὲ τὴν πόλιν αἰτίαν γενέσθαι. Καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; Οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστ' εὐδοκιμήσαντας καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας, ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας; Οὐ τοὺς τὴν αὐτῶν ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας καὶ τό τε παλαιὸν οἰκιστὰς τῶν πλείστων πόλεων γενομένους καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφορῶν δια-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲν εἶχαν τὴ δύναμη νὰ ἀντιμετωπίσουν τὸν ἐχθρὸ στὴ στεριὰ καὶ στὴ θάλασσα μαζί, παράλαβαν ὅλο τὸν ἄμαχο πληθυσμὸ καὶ τράβηξαν γιὰ τὸ γειτονικὸ νησὶ τῆς Σαλαμίνας, γιὰ νὰ μπορέσουν νὰ πολεμήσουν πρῶτα μὲ τὴ μιὰ καὶ ὕστερα μὲ τὴν ἄλλη ἀπὸ τὶς δυὸ δυνάμεις τοῦ ἐχθροῦ. Πῶς θὰ ἦταν δυνατὸ λοιπὸν νὰ βρεθοῦνε ἄντρες πιὸ γενναῖοι ἀπὸ αὐτοὺς ἢ μὲ πιὸ μεγάλη ἀφοσίωση στοὺς Ἕλληνες, ἀφοῦ ἄντεξαν νὰ δοῦν τὴν πόλη τους νὰ ἐρημώνεται, τὴ χώρα τους νὰ καταστρέφεται, τὰ ἱερὰ νὰ λεηλατοῦνται καὶ τοὺς ναοὺς νὰ καίγωνται καὶ ὅλη τὴν κατάρα τοῦ πολέμου νὰ ζώνη τὴ δικιά τους πόλη, μόνο καὶ μόνο γιὰ νὰ μὴ γίνουν ἡ αἰτία νὰ πέσουν στὴ σκλαβιὰ οἱ ἄλλοι Ἕλληνες;

Καὶ σὰ νὰ μὴν τοὺς ἔφταναν αὐτά, ἕτοιμοι ἦταν νὰ τὰ βάλουν μό- 97
νοι τους μὲ χίλια διακόσια πλοῖα τοῦ ἐχθροῦ. Μὰ δὲν τοὺς ἄφησαν μονάχους: Ἐπειδὴ ντράπηκαν οἱ Πελοποννήσιοι τὴν ἀρετή τους καὶ νόμισαν πώς, ἂν χαθοῦν οἱ δικοί μας, οὔτε καὶ ἐκεῖνοι θὰ γλιτώσουν τελικά, ἂν πάλι καταφέρουν καὶ νικήσουν, οἱ πόλεις οἱ δικές τους θὰ βουτηχτοῦν στὴ ντροπή, ἀναγκάστηκαν νὰ πάρουν μέρος στὸν ἀγώνα. Καὶ γιὰ τὴν ἀναταραχὴ πάνω στὴ μάχη, γιὰ τὶς πολεμικὲς κραυγὲς καὶ γιὰ τὶς ἐνθαρρυντικὲς προτροπὲς — χαρακτηριστικὰ κοινὰ σὲ ὅλες τὶς ναυμαχίες — ἔχω τὴ γνώμη πὼς δὲν πρέπει νὰ χάσω ὥρα νὰ τὰ πῶ.

Ὅμως τὶς πράξεις τὶς ξεχωριστές, ποὺ ἀξίζουν τὴν ἡγεμονία 98
καὶ εἶναι σύμφωνες μὲ ὅσα προανάφερα, αὐτὲς εἶναι τὸ χρέος μου νὰ σᾶς παρουσιάσω: Ἡ πόλη μας λοιπόν, ὅταν εἶχε τὴ δύναμή της ὅλη ἀνέπαφη, εἶχε μιὰ τέτοια ὑπεροχὴ ἀπέναντι στὶς ἄλλες, ὥστε, καὶ ρημαγμένη ἀκόμα, ἔβαλε στὸν κοινὸ ἀγώνα τῆς Ἑλλάδας τριήρεις περισσότερες ἀπὸ ὅσες ὅλοι μαζὶ οἱ ἄλλοι Ἕλληνες, ποὺ ἔλαβαν μέρος στὴ ναυμαχία τότε. Καὶ σίγουρα κανεὶς δὲν ἔχει τόση ἐμπάθεια μαζί μας, ὥστε νὰ μὴν ὁμολογῆ ὅτι ἡ ναυμαχία αὐτὴ εἶναι ποὺ ἐξασφάλισε τὴ νίκη μας στοὺς Περσικοὺς πολέμους καὶ τούτη πάλι ἦταν βασικὰ κατόρθωμα τῆς πόλης μας.

Ἅμα λοιπὸν εἶναι νὰ γίνη ἐκστρατεία ἐναντίον τῶν βαρβάρων, 99
ποιοὶ εἶναι φυσικὸ νὰ ἔχουν τὴν ἡγεμονία; Δὲν εἶναι αὐτοὶ ποὺ καὶ στὸν προηγούμενο πόλεμο ξεχώρισαν ἀπὸ ὅλους, ποὺ πρόταξαν πολλὲς φορὲς σὰν ἄτομα τὰ στήθη τους στὸν κίνδυνο γιὰ τὸ κοινὸ συμφέρο, ποὺ μὲ τὸ δίκιο τους δέχτηκαν τὰ πρωτεῖα; Δὲν εἶναι αὐτοὶ ποὺ ἄφησαν τὴν πόλη τους, γιὰ νὰ σωθοῦν οἱ ἄλλοι, ποὺ τὸν παλιὸ καιρὸ ἵδρυσαν τὶς πιὸ πολλὲς πόλεις καὶ ποὺ πολλὲς φορὲς τὶς ἔσωσαν ἀπὸ μεγάλες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σώσαντας; Πῶς δ' οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον
μέρος μετασχόντες, ἐν ταῖς τιμαῖς ἔλαττον ἔχειν ἀξιωθεῖμεν καὶ τότε
προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθεῖμεν;

100 *Μέχρι μὲν οὖν τούτων οἶδ' ὅτι πάντες ἂν ὁμολογήσειαν*
πλείστων ἀγαθῶν τὴν πόλιν τὴν ἡμετέραν αἰτίαν γεγενῆσθαι καὶ δι-
καίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι· μετὰ δὲ ταῦτ' ἤδη τινὲς ἡμῶν
κατηγοροῦσιν ὡς, ἐπειδὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελάβομεν, πολ-
λῶν κακῶν αἴτιοι τοῖς Ἕλλησι κατέστημεν, καὶ τόν τε Μηλίων
ἀνδραποδισμὸν καὶ τὸν Σκιωναίων ὄλεθρον ἐν τούτοις τοῖς λόγοις
101 *ἡμῖν προφέρουσιν. Ἐγὼ δ' ἡγοῦμαι πρῶτον μὲν οὐδὲν εἶναι τοῦ-*
το σημεῖον ὡς κακῶς ἤρχομεν, εἴ τινες τῶν πολεμησάντων ἡμῖν
σφόδρα φαίνονται κολασθέντες, ἀλλὰ πολὺ τόδε μεῖζον τεκμήριον
ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι τῶν πόλεων τῶν ὑφ'
102 *ἡμῖν οὐσῶν οὐδεμία ταύταις ταῖς συμφοραῖς περιέπεσεν. Ἔπειτ'*
εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρᾳότερον ἐπεμελήθησαν,
εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν· εἰ δὲ μήτε τοῦτο γέγονε μήθ' οἷόν τ'
ἐστὶν τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἢν μή τις κολάζῃ τοὺς
ἐξαμαρτάνοντας, πῶς οὐκ ἤδη δίκαιόν ἐστι ἡμᾶς ἐπαινεῖν, οἵτινες
ἐλαχίστοις χαλεπήναντες πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυ-
103 *νήθημεν; Οἶμαι δὲ πᾶσιν δοκεῖν τούτους κρατίστους προστάτας*
γενήσεσθαι τῶν Ἑλλήνων, ἐφ' ὧν οἱ πειθαρχήσαντες ἄριστα τυγχά-
νουσι πράξαντες. Ἐπὶ τοίνυν τῆς ἡμετέρας ἡγεμονίας εὑρήσομεν καὶ
τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπιδόντας καὶ τὰς
104 *πόλεις μεγίστας γενομένας. Οὐ γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις*
αὐτῶν, οὐδὲ ταραχὰς ἐνεποιοῦμεν πολιτείας ἐναντίας παρακαθιστάν-
τες, ἵν' ἀλλήλοις μὲν στασιάζοιμεν, ἡμᾶς δ' ἀμφότεροι θεραπεύοιεν,
ἀλλὰ τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομίζοντες τοῖς
αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν, συμμαχικῶς, ἀλλ' οὐ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συμφορές; Δὲ θὰ ἦταν τάχα προσβολὴ ἀπαράδεκτη, ἂν θὰ κριθοῦμε ἄξιοι ἐμεῖς γιὰ πιὸ μικρὲς τιμές, τὴ στιγμὴ ποὺ σηκώσαμε στὶς πλάτες μας τὶς πιὸ μεγάλες συμφορές, καὶ ἂν θὰ ἀναγκασθοῦμε νὰ ἀκολουθοῦμε τώρα ἄλλους, τὴ στιγμὴ ποὺ τότε πρῶτοι — πρῶτοι ἐμεῖς ἀντιμετωπίσαμε τὸν κίνδυνο ποὺ ἀπειλοῦσε ὅλη τὴν Ἑλλάδα;

Δικαίωση τῆς ἀθηναϊκῆς ἡγεμονίας.

Ὡς τὴ στιγμὴ ἐκείνη, τὸ ξέρω, ὅλοι θὰ παραδέχονταν ὅτι εἶχε 100
προσφέρει ἡ πόλη μας πάρα πολλὲς εὐεργεσίες στὴν Ἑλλάδα καὶ δικαιωματικὰ θὰ τῆς ἀνῆκε ἡ ἡγεμονία. Γιὰ τὴν ἀμέσως κιόλας κατοπινὴ περίοδο μᾶς κατακρίνουν μερικοὶ πὼς τάχα, ἀφότου παραλάβαμε τὴν ἀρχηγία στὴ θάλασσα, ἄφθονες συμφορὲς προξενήσαμε στοὺς Ἕλληνες. Μὲ τὰ λόγια τους αὐτὰ μᾶς καταλογίζουν φυσικὰ τὴν ὑποδούλωση τῶν κατοίκων τῆς Μήλου[58] καὶ τὴ σφαγὴ τῶν Σκιωναίων[59].
Προσωπικὰ ὅμως νομίζω ὅτι, ἂν μερικοὶ ἀπὸ ὅσους μᾶς πολέμησαν 101
ἀποδείχτηκε πὼς τιμωρήθηκαν σκληρά, αὐτὸ δὲ μπορεῖ νὰ θεωρηθῇ ἀπόδειξη πὼς διοικήσαμε μὲ τρόπο ἀνάρμοστο. Ἀντίθετα, πολὺ πιὸ ἰσχυρὴ ἀπόδειξη, πὼς ὀρθὰ διαχειριστήκαμε τὶς ὑποθέσεις τῶν συμμάχων, ἀποτελεῖ τὸ γεγονὸς ὅτι ἀπὸ τὶς πόλεις τὶς συμμαχικές, ποὺ ἔμειναν πιστὲς στὴ δικιά μας ἐξουσία, καμιὰ δὲν ἔπεσε σ' αὐτὲς τὶς συμφορές.

Ἔπειτα, ἂν ὑπάρχουν ἄνθρωποι ποὺ διαχειρίστηκαν τὶς ἴδιες ὑπο- 102
θέσεις μὲ τρόπο μαλακότερο, δικαιολογημένα θὰ τὰ ἔβαζαν μαζί μας. Ἀφοῦ ὅμως οὔτε αὐτὸ ἔχει συμβῆ, οὔτε καὶ εἶναι δυνατὸ νὰ ἐπιβάλῃς ἐξουσία σὲ τόσο πλῆθος πόλεων χωρὶς νὰ τιμωρῇς αὐτοὺς ποὺ παρεκτρέπονται, πῶς δὲν ἀξίζουμε τὸν ἔπαινο ἐμεῖς, τὴ στιγμὴ ποὺ κατορθώσαμε νὰ διατηρήσωμε τόσον καιρὸ τὴν ἐξουσία[60] χωρὶς νὰ δυσαρεστήσωμε παρὰ ἐλάχιστους;

Νομίζω μάλιστα πὼς ὅλοι συμφωνοῦν ὅτι ἄξιοι προστάτες τῶν 103
Ἑλλήνων θὰ σταθοῦν ἐκεῖνοι ποὺ στὰ δικά τους χρόνια, ὅσοι πειθάρχησαν, ἀπόχτησαν μεγάλη εὐτυχία. Στὰ χρόνια λοιπὸν τῆς ἡγεμονίας τῆς δικιᾶς μας θὰ βροῦμε καὶ τῶν ἰδιωτῶν τὰ σπίτια μὲς σὲ μεγάλη προκοπὴ καὶ εὐδαιμονία καὶ ὅλες τὶς πόλεις σὲ μιὰ ξεχωριστὴ ἀνάπτυ-
ξη καὶ εὐημερία. Εἶναι ποὺ δὲ ζηλεύαμε τὶς πόλεις ποὺ πρόοδευαν· δὲ 104
δημιουργούσαμε ἀναταραχὴ ἐπιβάλλοντας πολιτεύματα ἀντίθετα, ἔτσι ποὺ μεταξύ τους νὰ φαγώνωνται καὶ ἐμᾶς νὰ μᾶς ὑπηρετοῦνε δουλικά[61]. Τῶν συμμάχων τὴν ὁμόνοια τὴ θεωρούσαμε κοινὴ ὠφέλεια γιὰ ὅλους καὶ κυβερνούσαμε ὅλες τὶς πολιτεῖες μὲ τοὺς ἴδιους νόμους σὰ σύμμαχοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν, ὅλων μὲν τῶν πραγμάτων ἐπι-
105 στατοῦντες, ἰδίᾳ δ' ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι, καὶ τῷ
μὲν πλήθει βοηθοῦντες, ταῖς δὲ δυναστείαις πολεμοῦντες, δεινὸν οἰό-
μενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι καὶ τοὺς ταῖς οὐσίαις ἐν-
δεεστέρους, τὰ δ' ἄλλα μηδὲν χείρους ὄντας, ἀπελαύνεσθαι τῶν ἀρ-
χῶν, ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης τοὺς μὲν τυραννεῖν, τοὺς δὲ
μετοικεῖν καὶ φύσει πολίτας ὄντας νόμῳ τῆς πολιτείας ἀποστερεῖ-
106 σθαι. Τοιαῦτ' ἔχοντες ταῖς ὀλιγαρχίαις ἐπιτιμᾶν καὶ πλείω τού-
των τὴν αὐτὴν πολιτείαν ἥνπερ παρ' ἡμῖν αὐτοῖς καὶ παρὰ τοῖς ἄλ-
λοις κατεστήσαμεν, ἣν οὐκ οἶδ' ὅ τι δεῖ διὰ μακροτέρων ἐπαινεῖν,
ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ αὐτῆς. Μετὰ γὰρ ταύ-
της οἰκοῦντες ἑβδομήκοντ' ἔτη διετελέσαμεν ἄπειροι μὲν τυραννί-
δων, ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους, ἀστασίαστοι δὲ πρὸς σφᾶς
107 αὐτούς, εἰρήνην δ' ἄγοντες πρὸς πάντας ἀνθρώπους. Ὑπὲρ ὧν προσήκει
τοὺς εὖ φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρου-
χίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλα-
κῆς ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν. Σημεῖον
δὲ τούτων· ἔχοντες γὰρ χώραν μὲν ὡς πρὸς τὸ πλῆθος τῶν πολιτῶν
ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην, καὶ κεκτημένοι τριήρεις διπλασίας ἢ
108 σύμπαντες, δυναμένας δὲ πρὸς δὶς τοσαύτας κινδυνεύειν, ὑποκει-
μένης τῆς Εὐβοίας ὑπὸ τὴν Ἀττικήν, ἣ καὶ πρὸς τὴν ἀρχὴν τὴν
τῆς θαλάττης εὐφυῶς εἶχεν καὶ τὴν ἄλλην ἀρετὴν ἁπασῶν τῶν
νήσων διέφερεν, κρατοῦντες αὐτῆς μᾶλλον ἢ τῆς ἡμετέρας αὐτῶν,
καὶ πρὸς τούτοις εἰδότες καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων
τούτους μάλιστ' εὐδοκιμοῦντας ὅσοι τοὺς ὁμόρους ἀναστάτους ποι-
ήσαντες ἄφθονον καὶ ῥᾴθυμον αὑτοῖς κατεστήσαντο τὸν βίον, ὅμως
οὐδὲν τούτων ἡμᾶς ἐπῆρε περὶ τοὺς ἔχοντας τὴν νῆσον ἐξαμαρτεῖν,
109 ἀλλὰ μόνοι δὴ τῶν μεγάλην δύναμιν λαβόντων περιείδομεν ἡμᾶς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πραγματικοὶ καὶ ὄχι σὰν ἀφέντες. Μόνο τὴ γενικὴ πολιτική τους κατευθύναμε, χωρὶς νὰ ἐπεμβαίνουμε σὲ θέματα προσωπικῆς ἐλευθερίας, ποὺ ἦταν ἀπαραβίαστη. Βοηθούσαμε τὸ λαὸ καὶ πολεμούσαμε τὴν 105
τυραννία, γιατὶ εἴχαμε τὴ γνώμη πῶς εἶναι ἀπαράδεχτο οἱ λίγοι νὰ καταδυναστεύουν τοὺς πολλούς, νὰ ἀποκλείωνται ἀπὸ τὰ δημόσια ἀξιώματα οἱ ἄποροι, ποὺ ὡστόσο σὲ τίποτα δὲν ὑστεροῦσαν μπρὸς στοὺς ἄλλους: Πιστεύαμε ὅτι δὲν ἐπιτρέπεται σὲ μιὰ πατρίδα, ποὺ εἶναι κοινὴ γιὰ ὅλους, ἄλλοι νὰ εἶναι τύραννοι καὶ ἄλλοι μέτοικοι[62], καὶ αὐτοὶ ποὺ εἶναι στὴν οὐσία πολίτες, νὰ χάνουν τὰ πολιτικά τους δικαιώματα ἀπὸ τὸ νόμο.

Τέτοιες κατηγορίες ἔχοντας γιὰ τὶς ὀλιγαρχίες καὶ ἀκόμα σοβα- 106
ρότερες ἐφαρμόσαμε στὶς ἄλλες συμμαχικὲς πόλεις τὸ ἴδιο ἀκριβῶς πολίτευμα ποὺ εἴχαμε καὶ ἐμεῖς, καὶ δὲν ξέρω γιατί πρέπει νὰ κάμω μακρολογώντας ἔπαινο γι' αὐτό, τὴ στιγμὴ μάλιστα ποὺ εἶναι δυνατὸ νὰ εἶμαι καὶ σύντομος.

Ἀρκεῖ νὰ πῶ ὅτι μὲ τὸ πολίτευμα ζήσαμε ἥσυχοι οἱ Ἕλληνες ἑβδομήντα χρόνια συνεχῶς, χωρὶς τυράννους, χωρὶς σκλαβιὰ ἀπὸ τοὺς βαρβάρους, μονοιασμένοι καὶ ἀδερφωμένοι μεταξύ τους, σὲ γαλήνη καὶ εἰρήνη μὲ τὸν κόσμο ὅλο.

Γιὰ ὅλα αὐτὰ πρέπει οἱ ἄνθρωποι ποὺ λογικεύονται νὰ μᾶς χρω- 107
στοῦν εὐγνωμοσύνη, καὶ ὄχι νὰ μᾶς κακολογοῦν γιὰ τοὺς κληρούχους[63], ἀφοῦ τοὺς στέλναμε στὶς πόλεις ποὺ ἐρημώνονταν ὄχι ἀπὸ πλεονεξία, μὰ γιὰ νὰ τὶς φυλᾶν καὶ νὰ τὶς προστατεύουν. Θέλετε τώρα καὶ ἀπόδειξη γι' αὐτό; Εἴχαμε βέβαια χώρα πολὺ μικρή, σὲ σύγκριση μὲ τὸ μεγάλο ἀριθμὸ τῶν πολιτῶν, μὰ δύναμη μεγάλη· εἴχαμε πλοῖα δυὸ φορὲς τόσα ὅσα οἱ ἄλλοι Ἕλληνες μαζί, πλοῖα ποὺ ἦταν σὲ
θέση νὰ ἀναμετρηθοῦν κάθε στιγμὴ μὲ τὰ διπλάσια σὲ ἀριθμό· πλάι 108
στὴν Ἀττικὴ ἦταν ἡ Εὔβοια, ποὺ εἶχε θέση ἐξαίρετη γιὰ τὴν κυριαρχία μας στὴ θάλασσα καὶ πολλὰ πλεονεκτήματα σὲ σύγκριση μὲ τὰ ἄλλα νησιά, καὶ αὐτὴν τὴν εἴχαμε στὸ χέρι πιὸ σίγουρα καὶ ἀπὸ τὴ δική μας πόλη· ξέραμε ἀκόμα ὅτι καὶ ἀπὸ τοὺς Ἕλληνες καὶ ἀπὸ τοὺς βαρβάρους εὐημεροῦσαν περισσότερο ὅσοι ξεσπίτωναν καὶ ἀναστάτωναν τοὺς γείτονες, γιὰ νὰ ἐξασφαλίσουν γιὰ λογαριασμό τους πλούσια ζωὴ καὶ ξένοιαστη. Ὅμως τίποτα ἀπὸ αὐτὰ δὲ μᾶς ξεσήκωσε τὸ νοῦ,
γιὰ νὰ φερθοῦμε ἄδικα στοὺς ἀνθρώπους τοῦ νησιοῦ αὐτοῦ. Ἀντίθε- 109
τα, μονάχα ἐμεῖς ἀπὸ τοὺς λαοὺς ποὺ ἀπόχτησαν ποτὲ μεγάλη δύναμη

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοὺς ἀπορωτέρως ζῶντας τῶν δουλεύειν αἰτίαν ἐχόντων. Καίτοι
βουλόμενοι πλεονεκτεῖν οὐκ ἂν δή που τῆς μὲν Σκιωναίων γῆς ἐπεθυ-
μήσαμεν, ἣν Πλαταιέων τοῖς ὡς ἡμᾶς καταφυγοῦσι φαινόμεθα παρα-
δόντες, τοσαύτην δὲ χώραν παρελίπομεν ἣ πάντας ἂν ἡμᾶς εὐπο-
ρωτέρους ἐποίησεν.

110 *Τοιούτων τοίνυν ἡμῶν γεγενημένων καὶ τοσαύτην πίστιν δε-*
δωκότων ὑπὲρ τοῦ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν τολμῶσι κατηγο-
ρεῖν οἱ τῶν δεκαρχιῶν κοινωνήσαντες καὶ τὰς αὐτῶν πατρίδας δια-
λυμηνάμενοι καὶ μικρὰς μὲν ποιήσαντες δοκεῖν εἶναι τὰς τῶν προγε-
γενημένων ἀδικίας, οὐδεμίαν δὲ λιπόντες ὑπερβολὴν τοῖς αὖθις βου-
λομένοις γενέσθαι πονηροῖς, ἀλλὰ φάσκοντες μὲν λακωνίζειν, τἀ-
ναντία δ' ἐκείνοις ἐπιτηδεύοντες, καὶ τὰς μὲν Μηλίων ὀδυρόμενοι συμ-
φοράς, περὶ δὲ τοὺς αὐτῶν πολίτας ἀνήκεστα τολμήσαντες ἐξαμαρτεῖν.
111 *Ποῖον γὰρ αὐτοὺς ἀδίκημα διέφυγεν; Ἢ τί τῶν αἰσχρῶν ἢ δεινῶν οὐ*
διεξῆλθον; Οἳ τοὺς μὲν ἀνομωτάτους πιστοτάτους ἐνόμιζον, τοὺς
δὲ προδότας ὥσπερ εὐεργέτας ἐθεράπευον, ἠροῦντο δὲ τῶν Εἱλώτων
ἑνὶ δουλεύειν ὥστ' εἰς τὰς αὐτῶν πατρίδας ὑβρίζειν, μᾶλλον δ' ἐτί-
μων τοὺς αὐτόχειρας καὶ φονέας τῶν πολιτῶν ἢ τοὺς γονέας τοὺς
112 *αὐτῶν, εἰς τοῦτο δ' ὠμότητος ἅπαντας ἡμᾶς κατέστησαν ὥστε*
πρὸ τοῦ μὲν διὰ τὴν παροῦσαν εὐδαιμονίαν καὶ ταῖς μικραῖς ἀτυχίαις
πολλοὺς ἕκαστος ἡμῶν ἔχειν τοὺς συμπενθήσοντας, ἐπὶ δὲ τῆς τούτων
ἀρχῆς διὰ τὸ πλῆθος τῶν οἰκείων κακῶν ἐπαυσάμεθ' ἀλλήλους ἐλε-
οῦντες· οὐδενὶ γὰρ τοσαύτην σχολὴν παρέλιπον ὥσθ' ἑτέρῳ συναχθε-
113 *σθῆναι. Τίνος γὰρ οὐκ ἐφίκοντο; Ἢ τίς οὕτω πόρρω τῶν πολιτικῶν*
ἦν πραγμάτων, ὅστις οὐκ ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν,
εἰς ἃς αἱ τοιαῦται φύσεις ἡμᾶς κατέστησαν; Εἶτ' οὐκ αἰσχύνονται
τὰς αὐτῶν πόλεις οὕτως ἀνόμως διαθέντες καὶ τῆς ἡμετέρας ἀδίκως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δεχτήκαμε νὰ ζήσουμε πιὸ φτωχικὰ ἀπὸ ὅσους ἔχουν τὸ ὄνομα ὅτι εἶναι δοῦλοι. Καὶ ὁπωσδήποτε, ἂν θέλαμε νὰ δοῦμε τὸ συμφέρο μας μονάχα, σίγουρα δὲ θὰ ἐπιθυμούσαμε τῶν Σκιωναίων τὴ χώρα — εἶναι γνωστὸ ἄλλωστε ὅτι τὴν παραδώσαμε στοὺς Πλαταιεῖς τοὺς πρόσφυγες, ποὺ καταφύγανε σ' ἐμᾶς γιὰ προστασία[64] — καὶ δὲ θὰ ἀφήναμε ἀνενόχλητη μιὰ τέτοια χώρα, ποὺ θὰ μποροῦσε ὅλους μας νὰ μᾶς κάνῃ πλούσιους.

Οἱ συμφορὲς ποὺ προκάλεσε ἡ Σπαρτιατικὴ ἡγεμονία

Παρ' ὅλα αὐτὰ καὶ ἐνῶ τέτοια διαγωγὴ δείξαμε στοὺς συμμάχους 110
καὶ τόσο φανερὰ ἀποδείξαμε πὼς δὲν ἐπιθυμούσαμε τὰ ξένα ἀγαθά, τολμοῦν νὰ μᾶς κατηγοροῦνε ποιοί; Αὐτοὶ ποὺ πήρανε μέρος στὶς δεκαρχίες[65], ρήμαξαν τὶς πατρίδες τους, ἔκαναν ἕνα τίποτα τὶς ἀδικίες τὶς παλιὲς μπρὸς στὶς δικές τους, δὲν ἄφησαν κανένα περιθώριο γιὰ νὰ τοὺς ξεπεράσουν ἄλλοι ποὺ τυχὸν θὰ ἤθελαν κατόπιν νὰ φερθοῦν αἰσχρά· αὐτοὶ ποὺ ἰσχυρίζονται ὅτι λατρεύουν κάθε τι λακωνικό, ὅμως οἱ πράξεις τους εἶναι πέρα γιὰ πέρα ἀντίθετες ἀπὸ τὶς συνήθειες τῶν Σπαρτιατῶν[66], καὶ ἐνῶ θρηνολογοῦν δῆθεν γιὰ τὴ συμφορὰ ποὺ βρῆκε τοὺς Μηλίους, τόλμησαν ὡστόσο νὰ διαπράξουν ἐγκλήματα ἀθεράπευτα στοὺς συμπολίτες τους τοὺς ἴδιους.

Καὶ ποιό κακὸ δὲν ἔκαμαν; Ποιὰ πράξη αἰσχρὴ ἢ φρικιαστικὴ 111
ἄφησαν νὰ τοὺς διαφύγῃ; Τοὺς μεγαλύτερους ἐχθροὺς τοῦ νόμου καὶ τῆς τάξης τοὺς θεωρούσανε πιστούς· χαϊδολογοῦσαν τοὺς προδότες, σὰ νὰ ἦταν εὐεργέτες τῆς πατρίδας· προτιμοῦσαν νὰ εἶναι δοῦλοι σὲ ἕναν εἵλωτα[67], ἀρκεῖ νὰ ἐξευτελίσουν τὴν πατρίδα τους· τιμοῦσαν τοὺς φονιάδες καὶ τοὺς δολοφόνους τῶν συμπολιτῶν τους ἀκόμα περισσότερο καὶ ἀπὸ τοὺς δικούς τους τοὺς γονεῖς. Ὁδήγησαν τὸν κόσμο σὲ 112
τέτοιο σημεῖο ὠμότητας, ὥστε πρωτύτερα, στὰ χρόνια τῆς εὐτυχίας, καὶ στὶς μικρὲς ἀκόμα ἀτυχίες ἔβρισκε ὁ καθένας μας πολλοὺς νὰ τοῦ παρασταθοῦν, ἐνῶ τότε, τὸν καιρὸ τῆς δικιᾶς τους κυριαρχίας, μὲ τὸ πλῆθος τὶς συμφορὲς ποὺ ἔπεσαν στὸν καθένα, πάψαμε νὰ λυπούμαστε τοὺς ἄλλους· δὲν ἄφησαν σὲ κανέναν περιθώρια νὰ συγκινηθῇ μὲ τοὺς καημοὺς τῶν ἄλλων.

Πραγματικά, σὲ ποιὸν δὲν ἔδειξαν τὴν ἐγκληματικὴ διάθεσή 113
τους; Ἢ ποιός στάθηκε τόσο μακριὰ ἀπὸ τὴ δημόσια ζωή, ὥστε δὲν ἀναγκάστηκε νὰ μπῆ βαθιὰ μέσα στὶς συμφορές, ὅπου μᾶς βούτηξαν αὐτοὶ οἱ ἐλεεινοί; Ἔπειτα δὲν ντρέπονται ποὺ κατακρίνουνε ἐμᾶς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*κατηγοροῦντες, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ περὶ τῶν δικῶν καὶ τῶν
γραφῶν τῶν ποτε παρ' ἡμῖν γενομένων λέγειν τολμῶσιν, αὐτοὶ πλείους
ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπά-*
114 *σης ἔκρινεν. Φυγὰς δὲ καὶ στάσεις καὶ νόμων συγχύσεις καὶ πολι-
τειῶν μεταβολάς, ἔτι δὲ παίδων ὕβρεις καὶ γυναικῶν αἰσχύνας καὶ
χρημάτων ἁρπαγὰς τίς ἂν δύναιτο διεξελθεῖν; Πλὴν τοσοῦτον εἰπεῖν
ἔχω καθ' ἁπάντων, ὅτι τὰ μὲν ἐφ' ἡμῶν δεινὰ ῥᾳδίως ἄν τις ἑνὶ ψη-
φίσματι διέλυσεν, τὰς δὲ σφαγὰς καὶ τὰς ἀνομίας τὰς ἐπὶ τούτων γε-
νομένας οὐδεὶς ἂν ἰάσασθαι δύναιτο.*

115 *Καὶ μὴν οὐδὲ τὴν παροῦσαν εἰρήνην, οὐδὲ τὴν αὐτονομίαν
τὴν ἐν ταῖς πολιτείαις μὲν οὐκ ἐνοῦσαν, ἐν δὲ ταῖς συνθήκαις ἀνα-
γεγραμμένην, ἄξιον ἑλέσθαι μᾶλλον ἢ τὴν ἀρχὴν τὴν ἡμετέραν. Τίς
γὰρ ἂν τοιαύτης καταστάσεως ἐπιθυμήσειεν, ἐν ᾗ καταποντισταὶ μὲν
τὴν θάλατταν κατέχουσιν, πελτασταὶ δὲ τὰς πόλεις καταλαμβάνουσιν,*
116 *ἀντὶ δὲ τοῦ πρὸς ἑτέρους περὶ τῆς χώρας πολεμεῖν ἐντὸς τεί-
χους οἱ πολῖται πρὸς ἀλλήλους μάχονται, πλείους δὲ πόλεις αἰχμά-
λωτοι γεγόνασιν ἢ πρὶν τὴν εἰρήνην ἡμᾶς ποιήσασθαι, διὰ δὲ τὴν
πυκνότητα τῶν μεταβολῶν ἀθυμοτέρως διάγουσιν οἱ τὰς πόλεις οἰ-
κοῦντες τῶν ταῖς φυγαῖς ἐζημιωμένων· οἱ μὲν γὰρ τὸ μέλλον δεδίασιν,*
117 *οἱ δ' ἀεὶ κατιέναι προσδοκῶσιν. Τοσοῦτον δ' ἀπέχουσι τῆς ἐλευθερίας
καὶ τῆς αὐτονομίας, ὥσθ' αἱ μὲν ὑπὸ τυράννοις εἰσίν, τὰς δ' ἁρμοσταὶ
κατέχουσιν, ἔνιαι δ' ἀνάστατοι γεγόνασιν, τῶν δ' οἱ βάρβαροι δεσπόται
καθεστήκασιν· οὓς ἡμεῖς διαβῆναι τολμήσαντας εἰς τὴν Εὐρώπην καὶ*
118 *μεῖζον ἢ προσῆκεν αὐτοῖς φρονήσαντας οὕτω διέθεμεν ὥστε μὴ μό-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐνάντια σὲ κάθε ἔννοια δικαιοσύνης, τὴ στιγμὴ ποὺ τὶς πόλεις τὶς δι-
κές τους τὶς ἔριξαν σὲ τέτοια παρανομία; Καὶ πάνω ἀπὸ ὅλα ἔχουν
τὸ θράσος νὰ κάνουν λόγο γιὰ ἰδιωτικὲς καὶ γιὰ δημόσιες δίκες, ποὺ
ἔγιναν ἄλλοτε σ' ἐμᾶς[68], τὴ στιγμὴ ποὺ αὐτοί, μέσα σὲ τρεῖς μῆνες μο-
νάχα, σκότωσαν χωρὶς δίκη ἀκόμα περισσότερους ἀπὸ ὅσους δίκασε
ἡ πόλη μας μέσα σὲ ὅλο τὸ μακρὺ διάστημα ποὺ κράτησε ἡ ἡγεμο-
νία της[69].

Ὅσο γιὰ τὶς ἐξορίες, τὶς ἐσωτερικὲς ἀναστατώσεις, τὴ σύγχυ- 114
ση καὶ τὴν παρανομία, τὶς πολιτειακὲς αὐθαίρετες μεταβολές, καὶ
ἀκόμα γιὰ τὰ ἐγκλήματα πρὸς τὰ παιδιά, τὸ ἀτίμασμα τῶν γυναι-
κῶν, τὴν ἁρπαγὴ τῶν περιουσιῶν, ποιός θὰ μποροῦσε νὰ τὰ ἀπαρι-
θμήση ὅλα αὐτά[70]; Ἕνα μονάχα ἔχω νὰ πῶ καὶ τίποτα ἄλλο: Οἱ ἀδι-
κίες ποὺ ἔγιναν στὰ χρόνια τῆς δικιᾶς μας κυριαρχίας μὲ ἕνα μονάχα
ψήφισμα[71] θὰ ἦταν δυνατὸ νὰ διαλυθοῦν· ὅμως τὶς σφαγὲς καὶ τὶς πα-
ρανομίες ποὺ ἔγιναν στὰ χρόνια τους κανεὶς δὲν εἶναι δυνατὸ νὰ τὶς
γιατρέψη.

Ἀλλὰ οὔτε ἡ εἰρήνη, ποὺ ἔχομε τώρα[72], οὔτε ἡ δῆθεν αὐτονομία, 115
ποὺ εἶναι γραμμένη βέβαια στὶς συνθῆκες, μὰ δὲν ὑπάρχει πραγματι-
κὰ στὶς πολιτεῖες, ἀξίζει νὰ προτιμηθοῦν μπροστὰ στὴ δικιά μας ἡγε-
μονία. Καὶ πράγματι ποιός θὰ ἦταν δυνατὸ νὰ ἐπιθυμήση μιὰ τέτοια
θλιβερὴ κατάσταση, ὅπου οἱ πειρατὲς κατέχουν τὶς θάλασσες, οἱ πελ- 116
ταστὲς[73] κυριεύουν τὶς πόλεις, καὶ οἱ πολίτες, ἀντὶ νὰ μάχωνται μὲ τοὺς
ἐχθρούς, γιὰ νὰ ὑπερασπίσουν τὶς πόλεις τους, τρώγονται μεταξύ τους
μὲς στὰ τείχη, ὅπου μετὰ τὴν εἰρήνη ὑποδουλώθηκαν μὲ βία πόλεις
ἀκόμα περισσότερες ἀπὸ ὅσες πρὶν ἀπὸ αὐτή, ὅπου ἀπὸ τὶς συχνὲς
πολιτικὲς ἀναστατώσεις πιὸ τρομαγμένοι εἶναι οἱ κάτοικοι στὶς
πόλεις ἀπὸ αὐτοὺς ποὺ βρίσκονται διωγμένοι σὲ ἐξορίες; Τρέμουν,
βλέπετε, τί θὰ τοὺς ξημερώση, ἐνῶ οἱ ἄλλοι ἔχουν τουλάχιστο
ἐλπίδα πὼς θὰ γυρίσουν κάποτε στὸν τόπο τους.

Καταδίκη τῆς Εἰρήνης τοῦ Ἀνταλκίδα — Ἡ εὐθύνη τῶν Σπαρτιατῶν.

Καὶ τόσο μακριὰ βρίσκονται ἀπὸ τὴν ἐλευθερία καὶ τὴν αὐτονο- 117
μία, ὥστε ἄλλες εἶναι στὰ χέρια τῶν τυράννων, ἄλλου λύνουν καὶ δέ-
νουν οἱ ἁρμοστές, πολλὲς ἔχουν καταστραφῆ ἐντελῶς καὶ ἄλλες ἔχουν
τὸ βάρβαρο γιὰ ἀφέντη. Αὐτὸν ποὺ, ὅταν τόλμησε κάποτε νὰ περάση
στὴν Εὐρώπη καὶ νὰ τὸ πάρη ἀπάνω του πιότερο ἀπὸ ὅσο τὸ ἄξιζε, τὸν
καταντήσαμε σὲ τέτοια κατάσταση ἐμεῖς, ὥστε ὄχι μόνο νὰ σταμα- 118

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*νον παύσασθαι στρατείας ἐφ' ἡμᾶς ποιουμένους, ἀλλὰ καὶ τὴν αὐτῶν
χώραν ἀνέχεσθαι πορθουμένην, καὶ διακοσίαις καὶ χιλίαις ναυσὶν περι-
πλέοντας εἰς τοσαύτην ταπεινότητα κατεστήσαμεν ὥστε μακρὸν
πλοῖον ἐπὶ τάδε Φασήλιδος μὴ καθέλκειν, ἀλλ' ἡσυχίαν ἄγειν, καὶ τοὺς*
119 *καιροὺς περιμένειν, ἀλλὰ μὴ τῇ παρούσῃ δυνάμει πιστεύειν. Καὶ
ταῦθ' ὅτι διὰ τὴν τῶν προγόνων τῶν ἡμετέρων ἀρετὴν οὕτως εἶχεν,
αἱ τῆς πόλεως συμφοραὶ σαφῶς ἐπέδειξαν· ἅμα γὰρ ἡμεῖς τε τῆς ἀρ-
χῆς ἀπεστερούμεθα καὶ τοῖς Ἕλλησιν ἀρχὴ τῶν κακῶν ἐγίγνετο. Μετὰ
γὰρ τὴν ἐν Ἑλλησπόντῳ γενομένην ἀτυχίαν ἑτέρων ἡγεμόνων κατα-
στάντων ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς θαλάτ-
της, κατέσχον δὲ τὰς πλείστας τῶν νήσων, ἀπέβησαν δ' εἰς τὴν Λα-
κωνικήν, Κύθηρα δὲ κατὰ κράτος εἷλον, ἅπασαν δὲ τὴν Πελοπόννησον*
120 *κακῶς ποιοῦντες περιέπλευσαν. Μάλιστα δ' ἄν τις συνίδοι τὸ μέγεθος
τῆς μεταβολῆς εἰ παραναγνοίη τὰς συνθήκας τάς τ' ἐφ' ἡμῶν γενομέ-
νας καὶ τὰς νῦν ἀναγεγραμμένας. Τότε μὲν γὰρ ἡμεῖς φανησόμεθα τὴν
ἀρχὴν τὴν βασιλέως ὁρίζοντες καὶ τῶν φόρων ἐνίους τάττοντες καὶ
κωλύοντες αὐτὸν τῇ θαλάττῃ χρῆσθαι· νῦν δ' ἐκεῖνός ἐστιν ὁ διοικῶν
τὰ τῶν Ἑλλήνων καὶ προστάττων ἃ χρὴ ποιεῖν ἑκάστους καὶ μόνον*
121 *οὐκ ἐπιστάθμους ἐν ταῖς πόλεσιν καθιστάς. Πλὴν γὰρ τούτου τί τῶν
ἄλλων ὑπόλοιπόν ἐστιν; Οὐ καὶ τοῦ πολέμου κύριος ἐγένετο καὶ τὴν
εἰρήνην ἐπρυτάνευσε καὶ τῶν παρόντων πραγμάτων ἐπιστάτης κα-
θέστηκεν; Οὐχ ὡς ἐκεῖνον πλέομεν ὥσπερ πρὸς δεσπότην ἀλλήλων κα-
τηγορήσοντες; Οὐ βασιλέα τὸν μέγαν αὐτὸν προσαγορεύομεν ὥσπερ
αἰχμάλωτοι γεγονότες; Οὐκ ἐν τοῖς πολέμοις τοῖς πρὸς ἀλλήλους
ἐν ἐκείνῳ τὰς ἐλπίδας ἔχομεν τῆς σωτηρίας, ὃς ἀμφοτέρους ἡμᾶς
ἡδέως ἂν ἀπολέσειεν;*

122 *Ὧν ἄξιον ἐνθυμηθέντας ἀγανακτῆσαι μὲν ἐπὶ τοῖς παροῦσιν, πο-
θῆσαι δὲ τὴν ἡγεμονίαν τὴν ἡμετέραν, μέμψασθαι δὲ Λακεδαιμονίους*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τήση οριστικὰ τὶς ἐκστρατεῖες ἐναντίον μας, ἀλλὰ νὰ ἀνέχεται νὰ καταστρέφεται καὶ ἡ χώρα του. Καὶ μόλο ποὺ ἔπλευσε γιὰ ἐδῶ μὲ χίλια διακόσια πλοῖα, σὲ τέτοια ταπείνωση τὸν ρίξαμε, ὥστε πολεμικὸ καράβι νὰ μὴν τολμάη νὰ κατεβάση πιὰ ἐδῶθε ἀπὸ τὴν Φασήλιδα[74], μόνο νὰ κάθεται ἥσυχα, νὰ περιμένη ἴσως εὐνοϊκὴ περίσταση, μὰ νὰ μὴν ἔχη ἐμπιστοσύνη στὶς δυνάμεις ποὺ διέθετε.

Καὶ ὅτι τὰ πράγματα βάδισαν ὅπως βάδισαν μόνο μὲ τὴν ἀν- 119
δρεία τῶν προγόνων μας, τὸ ἔδειξαν ὁλοκάθαρα οἱ συμφορὲς τῆς πόλης μας. Ἀμέσως, μόλις χάσαμε τὴν ἡγεμονία ἐμεῖς, ἄρχισαν καὶ τῶν Ἑλλήνων τὰ δεινά. Ὕστερα δηλαδὴ ἀπὸ τὴν καταστροφή μας στὸν Ἑλλήσποντο[75] καὶ ἀφοῦ ἄλλοι ἀνάλαβαν πιὰ τὴν ἡγεσία, οἱ βάρβαροι νίκησαν σὲ ναυμαχία[76], πῆραν τὴν ἐξουσία στὴ θάλασσα, κατέλαβαν τὰ περισσότερα νησιά, ἀποβιβάστηκαν στὴ Λακωνική, κυρίεψαν τὰ Κύθηρα μὲ βία καὶ ἔκαναν τὸ γύρο τῆς Πελοποννήσου λεηλατώντας καὶ ρημάζοντας.

Ὁ καλύτερος τρόπος μάλιστα γιὰ νὰ ἀντιληφθῆ κανεὶς τὸ μέγε- 120
θος τῆς μεταβολῆς ποὺ μεσολάβησε εἶναι νὰ παραβάλη τὰ κείμενα τῶν συνθηκῶν ποὺ ἔγιναν στὶς μέρες[77] μας μὲ αὐτὲς ποὺ ὑπογράφτηκαν τώρα τελευταῖα. Ἀπὸ τὴ σύγκριση αὐτὴ θὰ ἀποδειχτῆ πὼς τότε ἐμεῖς βάζαμε περιορισμοὺς στὴν ἐξουσία τοῦ βασιλιᾶ, ὁρίζαμε τοὺς φόρους σὲ ὁρισμένες περιπτώσεις καὶ τοῦ ἀπαγορεύαμε νὰ βγαίνη ἐλεύθερα στὴ θάλασσα· τώρα ὅμως ἐκεῖνος εἶναι ποὺ ρυθμίζει τῶν Ἑλλήνων τὰ ζητήματα, τοὺς δίνει ἐντολὲς πάνω στὸ τί πρέπει νὰ κάμουν, καὶ μόνο ποὺ δὲ βάζει Πέρσες σατράπες τοποτηρητὲς[78] στὶς πόλεις μας.

Γιατὶ τί ἄλλο πιὰ ἀπομένει ἔξω ἀπὸ αὐτό; Μήπως δὲν ἔκανε ὅ,τι 121
ἤθελε στὸν πόλεμο; Δὲν ὑπαγόρευσε αὐτὸς τοὺς ὅρους τῆς εἰρήνης καὶ δὲ ρυθμίζει σήμερα ὅπως θέλει τὴ γενικὴ πολιτικὴ κατάσταση; Δὲν τρέχομε σ' ἐκεῖνον, σὰ νὰ εἶναι ἀφεντικό μας, ὅταν εἶναι νὰ κατηγορήσωμε ἡ μιὰ πόλη τὴν ἄλλη; Δὲν τὸν ἀποκαλοῦμε Μεγάλο Βασιλέα, σὰ νὰ εἴμαστε στὰ χέρια του αἰχμάλωτοι; Καὶ ὅταν πολεμοῦμε μεταξύ μας, ἐλπίδες σωτηρίας δὲ στηρίζομε σ' ἐκεῖνον, ποὺ μὲ μεγάλη του χαρὰ ὅλους θὰ μᾶς ἐξόντωνε;

Ὅλα αὐτὰ θὰ πρέπη νὰ τὰ ἀναλογιστοῦμε καί, ἀφοῦ νιώσωμε 122
ἀγανάκτηση γιὰ τὴ σημερινὴ κατάντια μας, νὰ ἐπιζητήσωμε φιλότιμα τὴν ἀνασύσταση τῆς ἡγεμονίας μας. Ἀκόμα νὰ ἀποδώσωμε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅτι τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον κατέστησαν ὡς ἐλευθερώσοντες
τοὺς Ἕλληνας, ἐπὶ δὲ τελευτῆς οὕτω πολλοὺς αὐτῶν ἐκδότους [τοῖς
βαρβάροις] ἐποίησαν, καὶ τῆς μὲν ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέ-
στησαν ἐξ ἧς ἀπῴκησαν καὶ δι' ἣν πολλάκις ἐσώθησαν, τοῖς δὲ βαρ-
βάροις αὐτοὺς ἐξέδοσαν ὧν ἀκόντων τὴν χώραν ἔχουσι καὶ πρὸς
123 οὓς οὐδὲ πώποτ' ἐπαύσαντο πολεμοῦντες. Καὶ τότε μὲν ἠγανά-
κτουν, ὅθ' ἡμεῖς νομίμως ἐπάρχειν τινῶν ἠξιοῦμεν· νῦν δ' εἰς τοιαύ-
την δουλείαν καθεστώτων οὐδὲν φροντίζουσιν αὐτῶν, οἷς οὐκ ἐξαρ-
κεῖ δασμολογεῖσθαι καὶ τὰς ἀκροπόλεις ὁρᾶν ὑπὸ τῶν ἐχθρῶν κατε-
χομένας, ἀλλὰ πρὸς ταῖς κοιναῖς συμφοραῖς καὶ τοῖς σώμασιν δει-
νότερα πάσχουσι τῶν παρ' ἡμῖν ἀργυρωνήτων· οὐδεὶς γὰρ ἡμῶν
οὕτως αἰκίζεται τοὺς οἰκέτας ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζου-
124 σιν. Μέγιστον δὲ τῶν κακῶν, ὅταν ὑπὲρ αὐτῆς τῆς δουλείας
ἀναγκάζωνται συστρατεύεσθαι, καὶ πολεμεῖν τοῖς ἐλευθέροις ἀξιοῦ-
σιν εἶναι, καὶ τοιούτους κινδύνους ὑπομένειν ἐν οἷς ἡττηθέντες μὲν πα-
ραχρῆμα διαφθαρήσονται, κατορθώσαντες δὲ μᾶλλον εἰς τὸν λοιπὸν
125 χρόνον δουλεύσουσιν. Ὧν τίνας ἄλλους αἰτίους χρὴ νομίζειν ἢ Λακε-
δαιμονίους, οἳ τοσαύτην ἰσχὺν ἔχοντες περιορῶσι τοὺς μὲν αὑτῶν
συμμάχους γενομένους οὕτω δεινὰ πάσχοντας, τὸν δὲ βάρβαρον τῇ
τῶν Ἑλλήνων ῥώμῃ τὴν ἀρχὴν τὴν αὑτοῦ κατασκευαζόμενον; Καὶ
πρότερον μὲν τοὺς <μὲν> τυράννους ἐξέβαλλον, τῷ δὲ πλήθει τὰς βοη-
θείας ἐποιοῦντο, νῦν δὲ [εἰς] τοσοῦτον μεταβεβλήκασιν ὥστε ταῖς
126 μὲν πολιτείαις πολεμοῦσιν, τὰς δὲ μοναρχίας συγκαθιστᾶσιν. Τὴν
μέν γε Μαντινέων πόλιν εἰρήνης ἤδη γεγενημένης ἀνάστατον ἐποίη-
σαν, καὶ τὴν Θηβαίων Καδμείαν κατέλαβον, καὶ νῦν Ὀλυνθίους καὶ
Φλειασίους πολιορκοῦσιν, Ἀμύντᾳ δὲ τῷ Μακεδόνων βασιλεῖ καὶ Διο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μομφὴ στοὺς Σπαρτιάτες, ποὺ ἄρχισαν τὸν πόλεμο[79] δῆθεν γιὰ νὰ ἐλευθερώσουνε τοὺς Ἕλληνες καί, καταλήγοντας, τόσο πολλοὺς παράδωσαν στὰ χέρια τῶν βαρβάρων· ποὺ ἀπόσπασαν τοὺς Ἴωνες ἀπὸ τὴ δικιά μας πόλη, ποὺ ἦταν ἡ μητρόπολή τους καὶ ποὺ τοὺς ἔσωσε τόσες φορές, γιὰ νὰ τοὺς παραδώσουν στοὺς βαρβάρους[80], ποὺ κατέχουνε τὴ χώρα τους παρὰ τὴ θέλησή τους καὶ οὔτε στιγμὴ δὲν ἔπαψαν νὰ πολεμοῦν μαζί τους.

Καὶ τότε βέβαια τοὺς ἔπιανε ἡ ἀγανάκτηση, ὅταν ἐμεῖς εἴχαμε 123
τὴ δίκαια ἀξίωση νὰ διοικοῦμε μερικοὺς ἀπὸ τοὺς Ἕλληνες μὲ τρόπο νόμιμο· τώρα ὅμως, ποὺ ἔπεσαν σὲ μιὰ τέτοια σκλαβιὰ οἱ ἴδιοι αὐτοὶ Ἕλληνες, καθόλου δὲ νοιάζονται γι' αὐτούς, ποὺ δὲν τοὺς φτάνει μόνο νὰ ρημάζωνται στοὺς φόρους, νὰ βλέπουν τὶς ἀκροπόλεις τους νὰ τὶς κατέχουν οἱ ἐχθροί, ἀλλά, ἐξὸν ἀπὸ τὴν κοινή τους συμφορά, δέχονται καὶ μαρτύρια σωματικὰ ἀκόμα φοβερώτερα ἀπ' ὅσα οἱ σκλάβοι ποὺ ἀγοράζομε μὲ χρῆμα[81]. Κανένας ἀπὸ μᾶς δὲν τυραννάει τὸ δοῦλο[82] του μὲ τόση ἀπανθρωπιά, ὅπως ἐκεῖνοι ἐκεῖ πέρα βασανίζουν τοὺς ἐλεύθερους.

Μὰ τὸ πιὸ τραγικὸ μαρτύριο εἶναι γι' αὐτοὺς ὅταν τοὺς ἀναγκά- 124
ζουν νὰ ἐκστρατεύουνε μαζί τους, γιὰ νὰ ἐξασφαλίσουν τὴν ἴδια τὴ σκλαβιά τους, νὰ πολεμοῦν μὲ ἐκείνους ποὺ ἔχουν τὴν ἀπαίτηση νὰ μείνουν ἐλεύθεροι καὶ νὰ ἀντιμετωπίζουν τοὺς πιὸ σκληροὺς ἀγῶνες, ὅπου, ἂν νικηθοῦν, τὴν ἴδια τὴ στιγμὴ θὰ ἀφανιστοῦν, ἂν πάλι κατορθώσουν καὶ νικήσουν, θὰ σιγουρέψουν τὴ σκλαβιά τους ἀκόμα περισσότερο.

Καὶ γιὰ ὅλα αὐτὰ ποιοὺς ἄλλους πρέπει νὰ θεωρήσουμε ὑπεύ- 125
θυνους, ἂν ὄχι τοὺς Σπαρτιάτες, ποὺ μὲ τέτοια δύναμη στὰ χέρια τους ἀφήνουν τοὺς συμμάχους νὰ ὑποφέρουν βάσανα φριχτά, καὶ τοὺς βαρβάρους νὰ ἁπλώνουν τὴν κυριαρχία τους μὲ τῶν Ἑλλήνων τὴν παλικαριὰ καὶ τὴ βοήθεια; Αὐτοὶ ποὺ πρῶτα διώχναν τοὺς τυράννους[83] καὶ βοηθοῦσαν τὸ λαό, τόσο πολὺ ἄλλαξαν πολιτική, ποὺ πολεμοῦν τὰ πολιτεύματα τὰ δημοκρατικὰ καὶ ἐγκαθιστοῦν παντοῦ τὶς μοναρχίες.

Ἄλλωστε κατάστρεψαν ἀπὸ τὰ θεμέλια τὴ Μαντίνεια[84], καὶ μάλι- 126
στα μετὰ τὴ σύναψη εἰρήνης, ὑπόταξαν μὲ βία τὴν ἀκρόπολη Καδμεία[85] τῶν Θηβαίων, καὶ τώρα δὰ πολιορκοῦν τὴν Ὄλυνθο[86] καὶ τὸ Φλιούντα[86]. Ἀκόμα βοηθοῦν τὸ βασιλιὰ τῶν Μακεδόνων Ἀμύντα[87], τὸν τύραννο τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νυσίῳ τῷ Σικελίας τυράννῳ καὶ τῷ βαρβάρῳ τῷ τῆς Ἀσίας κρατοῦντι
127 *συμπράττουσιν, ὅπως ὡς μεγίστην ἀρχὴν ἕξουσιν. Καίτοι πῶς οὐκ*
ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα μὲν ἄνδρα τοσούτων
ἀνθρώπων καθιστάναι δεσπότην ὧν οὐδὲ τὸν ἀριθμὸν ἐξευρεῖν ῥᾴ-
διόν ἐστιν, τὰς δὲ μεγίστας τῶν πόλεων μηδ᾽ αὐτὰς αὑτῶν ἐᾶν εἶναι
κυρίας, ἀλλ᾽ ἀναγκάζειν δουλεύειν ἢ ταῖς μεγίσταις συμφοραῖς περι-
128 *βάλλειν; Ὃ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμο-*
νίαν ἔχειν ἀξιοῦντας ἐπὶ μὲν τοὺς Ἕλληνας καθ᾽ ἑκάστην ἡμέραν
στρατευομένους, πρὸς δὲ τοὺς βαρβάρους εἰς ἅπαντα τὸν χρόνον συμ-
μαχίαν πεποιημένους.

129 *Καὶ μηδεὶς ὑπολάβῃ με δυσκόλως ἔχειν, ὅτι τραχύτερον τού-*
των ἐμνήσθην, προειπὼν ὡς περὶ διαλλαγῶν ποιήσομαι τοὺς λόγους·
οὐ γὰρ ἵνα πρὸς τοὺς ἄλλους διαβάλω τὴν πόλιν τὴν Λακεδαιμονίων
οὕτως εἴρηκα περὶ αὐτῶν, ἀλλ᾽ ἵν᾽ αὐτοὺς ἐκείνους παύσω, καθ᾽ ὅσον
130 *ὁ λόγος δύναται, τοιαύτην ἔχοντας τὴν γνώμην. Ἔστιν δ᾽ οὐχ*
οἷόν τ᾽ ἀποτρέπειν τῶν ἁμαρτημάτων, οὐδ᾽ ἑτέρων πράξεων πείθειν
ἐπιθυμεῖν, ἢν μή τις ἐρρωμένως ἐπιτιμήσῃ τοῖς παροῦσιν· χρὴ δὲ
κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ τοιαῦτα λέγοντας, νουθε-
τεῖν δὲ τοὺς ἐπ᾽ ὠφελείᾳ λοιδοροῦντας. Τὸν γὰρ αὐτὸν λόγον οὐχ
131 *ὁμοίως ὑπολαμβάνειν δεῖ, μὴ μετὰ τῆς αὐτῆς διανοίας λεγόμενον. Ἐπεὶ*
καὶ τοῦτ᾽ ἔχομεν αὐτοῖς ἐπιτιμᾶν ὅτι τῇ μὲν αὑτῶν πόλει τοὺς ὁμό-
ρους εἱλωτεύειν ἀναγκάζουσιν, τῷ δὲ κοινῷ τῷ τῶν συμμάχων οὐδὲν
τοιοῦτον κατασκευάζουσιν, ἐξὸν αὐτοῖς τὰ πρὸς ἡμᾶς διαλυσαμένοις
ἅπαντας τοὺς βαρβάρους περιοίκους ὅλης τῆς Ἑλλάδος καταστῆσαι.
132 *Καίτοι χρὴ τοὺς φύσει καὶ μὴ διὰ τύχην μέγα φρονοῦντας τοιού-*
τοις ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον ἢ τοὺς νησιώτας δασμολογεῖν,
οὓς ἄξιόν ἐστιν ἐλεεῖν, ὁρῶντας τούτους μὲν διὰ σπανιότητα τῆς γῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σικελίας Διονύσιο[87], ὡς καὶ τὸ βάρβαρο[87] ποὺ ἐξουσιάζει τὴν Ἀσία, γιὰ
νὰ ἀποχτήσουνε οἱ ἴδιοι ὅσο γίνεται πιὸ μεγάλη δύναμη καὶ ἐπιβολή.
Καὶ ὅμως τουλάχιστο παράλογο δὲν εἶναι οἱ ἴδιοι οἱ προστάτες τῶν 127
Ἑλλήνων ἀπὸ τὴ μιὰ μεριὰ νὰ ὁρίζουνε κυρίαρχο καὶ ἀφέντη ἕνα μο-
νάχα πρόσωπο σὲ τόσο πλῆθος ἀπὸ ἀνθρώπους, ποὺ καὶ τὸν ἀριθμό
τους δὲν μπορεῖς νὰ ὑπολογίσῃς, καὶ ἀπὸ τὴν ἄλλη νὰ μὴν ἀφήνουν
οὔτε τὶς πιὸ μεγάλες πόλεις νὰ κανονίζουν μόνες τὰ ζητήματά τους,
μὰ ἢ νὰ τὶς ἀναγκάζουν νὰ εἶναι σκλάβες ἢ νὰ τὶς ρίχνουν σὲ συμφο-
ρὲς ἀβάσταχτες; Καὶ τὸ φριχτότερο ἀπὸ ὅλα, νὰ βλέπῃς αὐτούς, ποὺ 128
ἔχουν τὴν ἀξίωση νὰ εἶναι στὴν Ἑλλάδα ἡγεμόνες, νὰ κάνουν κάθε μέρα
ἐκστρατεῖες ἐνάντια στοὺς Ἕλληνες, μὲ τοὺς βαρβάρους ὅμως νὰ
ἔχουν πάντοτε φιλία καὶ συμμαχία ἀδιατάραχτη.

ΘΕΜΑ Β'. Ἡ ἀνάγκη τοῦ πολέμου κατὰ τῶν Περσῶν.

Καὶ ἂς μὴ νομίσῃ κανεὶς πὼς προκαλῶ δυσχέρειες ποὺ ἀνακά- 129
λεσα στὴ μνήμη σας μὲ τόσο σκληρὸ τρόπο τὰ γεγονότα αὐτά, τὴ
στιγμὴ μάλιστα ποὺ ἀπὸ τὴν ἀρχὴ σᾶς δήλωσα πὼς θὰ μιλήσω
γιὰ συνδιαλλαγή. Μίλησα ἔτσι ὄχι βέβαια γιὰ νὰ διαβάλω τὴν πόλη
τῶν Σπαρτιατῶν μπροστὰ στοὺς ἄλλους Ἕλληνες, ἀλλὰ γιὰ νὰ ἀναγ-
κάσω αὐτοὺς τοὺς ἴδιους νὰ ἀλλάξουν νοοτροπία — μέσα στὰ πλαί-
σια φυσικὰ τῆς δύναμης ποὺ ἔχει ἕνας λόγος.

Μὰ οὔτε καὶ εἶναι δυνατὸ νὰ ἀποτρέψῃς ἀπὸ σφάλματα ἢ νὰ 130
κάνῃς κάποιον νὰ ἐπιθυμήσῃ πράξεις διαφορετικές, ἂν δὲ θὰ κατα-
κρίνῃς μὲ τρόπο ἀποφασιστικὸ τὴν τωρινὴ κακὴ διαγωγή του. Κατή-
γορους πρέπει νὰ θεωροῦμε μονάχα ὅσους ἐπικρίνουν μὲ αὐτὸ τὸν τρό-
πο μὲ σκοπὸ νὰ βλάψουν κάποιον· ἀντίθετα, αὐτοὺς ποὺ μιλοῦν γιὰ τὸ
καλὸ θὰ πρέπῃ νὰ τοὺς ὀνομάζουμε συμβούλους. Καὶ αὐτὸ γιατὶ τὸν
ἴδιο λόγο, ὅταν δὲν ξεκινάῃ καὶ ἀπὸ τὴν ἴδια πρόθεση, δὲν πρέπει νὰ
τὸν κρίνωμε καὶ μὲ τὸ ἴδιο πνεῦμα.

Ἄλλωστε ἔχομε νὰ τοὺς κατακρίνωμε καὶ γιὰ ἄλλο λόγο ἀκόμα: 131
Τοὺς γείτονες τῆς χώρας τους τοὺς ἀναγκάζουν νὰ εἶναι εἵλωτες[88] στὴν
πόλη τους, ἐνῶ τίποτα τέτοιο δὲ φροντίζουν νὰ πετύχουν γιὰ τὸ κοινὸ
συμφέρο τῶν συμμάχων, παρόλο ποὺ εἶναι στὸ χέρι τους νὰ διαλύ-
σουνε τὴν ἔχθρα τους μὲ ἐμᾶς καὶ νὰ ἀναγκάσουν ὅλους τοὺς βαρ-
βάρους νὰ γίνουν οἱ περίοικοι[88] ὅλης τῆς Ἑλλάδας. Καὶ ὅμως αὐτοὶ 132
ποὺ νιώθουν δίκαια περηφάνια γιὰ τὰ φυσικά τους προτερήματα
καὶ ὄχι γιατὶ ἡ τύχη τοὺς τὰ ἔφερε ὅλα βολικά, ἔχουν ὑποχρέω-
ση νὰ καταπιάνωνται μὲ πράξεις τέτοιες βέβαια, καὶ ὄχι νὰ ὁρίζουν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὄρη γεωργεῖν ἀναγκαζομένους, τοὺς δ' ἠπειρώτας δι' ἀφθονίαν τῆς
χώρας τὴν μὲν πλείστην αὐτῆς ἀργὸν περιορῶντας, ἐξ ἧς δὲ καρποῦν-
ται τοσοῦτον πλοῦτον κεκτημένους.

133 *Ἡγοῦμαι δ' εἴ τινες ἄλλοθεν ἐπελθόντες θεαταὶ γένοιντο*
τῶν παρόντων πραγμάτων, πολλὴν ἂν αὐτοὺς καταγνῶναι μανίαν
ἀμφοτέρων ἡμῶν, οἵτινες οὕτω περὶ μικρῶν κινδυνεύομεν, ἐξὸν ἀδεῶς
πολλὰ κεκτῆσθαι, καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθείρομεν, ἀμε-
134 *λήσαντες τὴν Ἀσίαν καρποῦσθαι. Καὶ τῷ μὲν οὐδὲν προὐργιαίτερόν*
ἐστιν ἢ σκοπεῖν ἐξ ὧν μηδέποτε παυσόμεθα πρὸς ἀλλήλους πολεμοῦν-
τες· ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων
ἢ ποιεῖν στασιάζειν ὥστε καὶ τὰς διὰ τύχην αὐτῷ γεγενημένας ταρα-
χὰς συνδιαλύειν ἐπιχειροῦμεν, οἵτινες καὶ τοῖν στρατοπέδοιν τοῖν περὶ
Κύπρον ἐῶμεν αὐτὸν τῷ μὲν χρῆσθαι, τὸ δὲ πολιορκεῖν, ἀμφοτέροιν
135 *αὐτοῖν τῆς Ἑλλάδος ὄντοιν. Οἵ τε γὰρ ἀφεστῶτες πρὸς ἡμᾶς τ'*
οἰκείως ἔχουσιν καὶ Λακεδαιμονίοις σφᾶς αὐτοὺς ἐνδιδόασιν, τῶν
τε μετὰ Τειριβάζου στρατευομένων καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον ἐκ
τῶνδε τῶν τόπων ἤθροισται, καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον ἀπ' Ἰω-
νίας συμπέπλευκεν, οἳ πολὺ ἂν ἥδιον κοινῇ τὴν Ἀσίαν ἐπόρθουν ἢ
136 *πρὸς ἀλλήλους ἕνεκα μικρῶν ἐκινδύνευον. Ὧν ἡμεῖς οὐδεμίαν ποιού-*
μεθα πρόνοιαν, ἀλλὰ περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦ-
μεν, τοσαύτας δὲ τὸ πλῆθος πόλεις καὶ τηλικαύτας τὸ μέγεθος δυνά-
μεις οὕτως εἰκῇ τῷ βαρβάρῳ παραδεδώκαμεν. Τοιγαροῦν τὰ μὲν ἔχει,
τὰ δὲ μέλλει, τοῖς δ' ἐπιβουλεύει, δικαίως ἁπάντων ἡμῶν καταπε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς δασμοὺς γιὰ τοὺς κατοίκους τῶν νησιῶν, τοὺς ἀνθρώπους δηλαδὴ ποὺ ἀξίζουν μόνο νὰ τοὺς λυποῦνται : Τοὺς βλέπουν κάθε μέρα ποὺ ἀναγκάζονται νὰ ὀργώνουν τὰ βουνά, ἔτσι ποὺ ἡ γῆ τους εἶναι στείρα καὶ ἄγονη, ἐνῶ οἱ στεριανοί, ποὺ ἔχουν στὴ διάθεσή τους χωράφια ἄφθονα καὶ γόνιμα, τὰ πιὸ πολλὰ τὰ ἀφήνουνε ἀδούλευτα· μὰ καὶ ἀπὸ τὰ λίγα ποὺ δουλεύουν ἀποκομίζουν πλούτη ἀμέτρητα.

Ἔχω τὴ γνώμη πώς, ἂν κάποιος ξένος ἐρχόταν ἀπὸ ἀλλοῦ καὶ ἀντίκριζε τὴν τωρινὴ κατάσταση τῆς χώρας μας, σίγουρα θὰ μᾶς νόμιζε τρελοὺς καὶ ἐμᾶς καὶ τοὺς Σπαρτιάτες : Παλεύομε μεταξύ μας γιὰ τιποτένια πράγματα, τὴ στιγμὴ ποὺ χωρὶς κανένα φόβο μποροῦμε νὰ ἀποχτήσουμε πολλά, ρημάζουμε τὴ χώρα τὴ δικιά μας καὶ δὲ μᾶς νοιάζει διόλου νὰ ἀποχτήσουμε καὶ νὰ χαροῦμε τὰ πλούτη τῆς Ἀσίας.

Καὶ γιὰ τὸ βασιλιὰ βέβαια τῆς Περσίας τίποτα δὲν εἶναι πιὸ 134
ὠφέλιμο, ἀπὸ τὸ νὰ λογαριάζη διαρκῶς μὲ ποιὸν ἀκριβῶς τρόπο δὲ θὰ πάψουμε στιγμὴ ἐμεῖς νὰ πολεμοῦμε μεταξύ μας. Ἐμεῖς ὅμως τόσο μακριὰ βρισκόμαστε ἀπὸ τὸ νὰ προκαλέσωμε συγκρούσεις μέσα στοὺς δικούς του ὑποτελεῖς ἢ νὰ τοὺς κάνωμε νὰ ἐπαναστατήσουν, ὥστε ἀκόμα καὶ τὶς ταραχές, ποὺ γίνονται ὁλότελα τυχαῖα, τὸν βοηθοῦμε νὰ τὶς καταπνίξη· ἀφοῦ καὶ ἀπὸ τὰ δυὸ στρατόπεδα ποὺ βρίσκονται στὴν Κύπρο[89], τὴ στιγμὴ ποὺ καὶ τὸ ἕνα καὶ τὸ ἄλλο εἶναι τὸ ἴδιο ἑλληνικά, τοῦ ἐπιτρέπομε νὰ χρησιμοποιῆ τὸ ἕνα ἐλεύθερα γιὰ τοὺς σκοπούς του καὶ τὸ ἄλλο νὰ τὸ πολιορκῆ.

Ὡστόσο οἱ ἀποστάτες τὰ ἔχουν καλὰ μαζί μας, ἀλλὰ καὶ στοὺς 135
Σπαρτιάτες θὰ ἐμπιστεύονταν τὴν τύχη τους. Μὰ καὶ ἀπὸ ὅσους ἐξεστράτευσαν μαζὶ μὲ τὸν Τειρίβαζο[90] καὶ τοῦ πεζικοῦ τὸ ἐκλεκτότερο κομμάτι ἀπὸ ἑλληνικοὺς τόπους στρατολογήθηκε καὶ τοῦ ναυτικοῦ τὸ μεγαλύτερο μέρος συγκεντρώθηκε ἀπὸ τὰ ἰωνικὰ παράλια· καὶ αὐτοὶ μὲ μεγαλύτερη χαρὰ θὰ ἐκπορθοῦσαν τὴν Ἀσία παρὰ θὰ πολεμοῦσαν μεταξύ τους γιὰ ἀσήμαντα ζητήματα.

Γιὰ ὅλους αὐτοὺς καμιὰ ἔγνοια δὲν ἔχομε παρὰ φιλονικοῦμε 136
μεταξύ μας ποιὸς θὰ κατέχη τὶς Κυκλάδες καὶ παραδώσαμε στὸ βάρβαρο μὲ τόση ἀπερισκεψία ἀμέτρητες πόλεις καὶ ἐξαιρετικὰ ὑπολογίσιμες δυνάμεις. Ἔτσι ἄλλες τὶς ἔχει κιόλας μὲς στὰ χέρια του, ἄλλες κοντεύει νὰ τὶς πάρη καὶ γιὰ ἄλλες καιροφυλακτεῖ, γιατὶ — καὶ μὲ τὸ δίκιο του — νιώθει μιὰ περιφρόνηση γιὰ ὅλους μας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

137 φρονηκώς. Διαπέπρακται γὰρ ὃ τῶν ἐκείνου προγόνων οὐδεὶς πώ-
ποτε· τήν τε γὰρ Ἀσίαν διωμολόγηται καὶ παρ' ἡμῶν καὶ παρὰ Λα-
κεδαιμονίων βασιλέως εἶναι, τάς τε πόλεις τὰς Ἑλληνίδας οὕτω
κυρίως παρείληφεν ὥστε τὰς μὲν αὐτῶν κατασκάπτειν, ἐν δὲ ταῖς
ἀκροπόλεις ἐντειχίζειν. Καὶ ταῦτα πάντα γέγονε διὰ τὴν ἡμετέραν
ἄνοιαν, ἀλλ' οὐ διὰ τὴν ἐκείνου δύναμιν.

138 Καίτοι τινὲς θαυμάζουσι τὸ μέγεθος τῶν βασιλέως πραγμά-
των καί φασιν αὐτὸν εἶναι δυσπολέμητον, διεξιόντες ὡς πολλὰς
τὰς μεταβολὰς τοῖς Ἕλλησι πεποίηκεν. Ἐγὼ δ' ἡγοῦμαι μὲν τοὺς
ταῦτα λέγοντας οὐκ ἀποτρέπειν, ἀλλ' ἐπισπεύδειν τὴν στρατείαν· εἰ
γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταραχαῖς ὢν χαλεπὸς ἔσται προσ-
πολεμεῖν, ἦ που σφόδρα χρὴ δεδιέναι τὸν καιρὸν ἐκεῖνον ὅταν τὰ μὲν
τῶν βαρβάρων καταστῇ καὶ διὰ μιᾶς γένηται γνώμης, ἡμεῖς δὲ πρὸς
139 ἀλλήλους ὥσπερ νῦν πολεμικῶς ἔχωμεν. Οὐ μὴν οὐδ' εἰ συνα-
γορεύουσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις οὐδ' ὡς ὀρθῶς περὶ τῆς ἐκείνου
δυνάμεως γιγνώσκουσιν. Εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν ἅμα τοῖν πο-
λέοιν ἀμφοτέροιν πρότερόν ποτε περιγεγενημένον, εἰκότως ἂν ἡμᾶς
καὶ νῦν ἐκφοβεῖν ἐπεχείρουν· εἰ δὲ τοῦτο μὲν μὴ γέγονεν, ἀντιπάλων
δ' ὄντων ἡμῶν καὶ Λακεδαιμονίων προσθέμενος τοῖς ἑτέροις ἐπικυ-
δέστερα τὰ πράγματα θάτερ' ἐποίησεν, οὐδέν ἐστι τοῦτο σημεῖον
τῆς ἐκείνου ῥώμης. Ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις μικραὶ
δυνάμεις μεγάλας τὰς ῥοπὰς ἐποίησαν, ἐπεὶ καὶ περὶ Χίων ἔχοιμ' ἂν
τοῦτον τὸν λόγον εἰπεῖν, ὡς ὁποτέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν,
140 οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν. Ἀλλὰ γὰρ οὐκ ἐκ τούτων
δίκαιόν ἐστι σκοπεῖν τὴν βασιλέως δύναμιν, ἐξ ὧν μεθ' ἑκατέρων γέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κατάφερε δηλαδὴ ὅ,τι δὲν μπόρεσε κανεὶς ἀπὸ τοὺς προγόνους 137
του ὡς τώρα: Ἀναγνωρίστηκε ἐπίσημα καὶ ἀπὸ μᾶς καὶ ἀπὸ τοὺς Σπαρτιάτες πὼς ἡ Ἀσία ἀνήκει ἀποκλειστικὰ στὸν Πέρση βασιλιά[91]. Καὶ τέτοια ἀπόλυτη κυριαρχία ἀσκεῖ πάνω στὶς πόλεις τὶς ἑλληνικές, ὥστε ἄλλες τὶς καταστρέφει ἀπὸ τὰ θεμέλια καὶ σὲ ἄλλες ὀχυρώνει ἀκροπόλεις. Καὶ ὅλα αὐτὰ ἔγιναν φυσικὰ ἀπὸ τὴ δικιά μας κουταμάρα μόνο, καὶ ὄχι ἀπὸ τὶς δικές του τὶς δυνάμεις.

ΤΑ ΚΙΝΗΤΡΑ ΤΟΥ ΠΟΛΕΜΟΥ

Ἡ ἐξασθένηση τοῦ Περσικοῦ κράτους.

Βέβαια ὑπάρχουν μερικοὶ ποὺ νιώθουν θαυμασμὸ μπροστὰ στὸ 138
μέγεθος τῆς δύναμης τῆς Περσικῆς καὶ ἐπιμένουν πὼς εἶναι ἀκαταμάχητη. Πάνω σ' αὐτὸ λένε καὶ ξαναλένε πὼς τάχα ἔχει φέρει ἄνω κάτω τὴν Ἑλλάδα. Ἡ ἄποψη ὅμως ἡ δική μου εἶναι πὼς ὅσοι λὲν αὐτὰ δὲ μᾶς ἀποτρέπουν ἀπὸ τὴν ἐκστρατεία· ἀντίθετα μᾶς σπρώχνουν ἀκόμα περισσότερο σ' αὐτή. Ἐννοῶ φυσικὰ ὅτι, ἂν εἶναι δύσκολο νὰ πολεμήσωμε μ' ἐκεῖνον ὅταν ὁμονοήσωμε, ἐνῶ ὁ ἴδιος ἔχῃ νὰ ἀντιμετωπίσῃ πολλὲς ταραχὲς μὲς στὸ δικό του κράτος, θὰ πρέπῃ κυριολεκτικὰ νὰ τρέμωμε τὴν ἐποχὴ ἐκείνη ποὺ θὰ ἀποκατασταθῆ τάξη καὶ ἡσυχία ἀπόλυτη μὲς στὸ βασίλειό του, ἐνῶ ἐμεῖς θὰ ἐξακολουθοῦμε τοὺς πολέμους μεταξύ μας, ὅπως συμβαίνει τώρα.

Ὡστόσο ὅμως, ἀκόμα καὶ ἂν συντάσσωνται μὲ τὴ δικιά μου γνώ- 139
μη, οὔτε καὶ στὴν περίπτωση αὐτὴ εἶναι σωστὴ ἡ σκέψη τους γιὰ τὴ δικιά του δύναμη. Ἂν δηλαδὴ ἦταν σὲ θέση νὰ ἀποδείξουν ὅτι καὶ μιὰ φορὰ στὰ περασμένα νίκησε ἡ δύναμη τοῦ βασιλιᾶ καὶ τὶς δυὸ πόλεις τὶς δικές μας ἑνωμένες, ἴσως νὰ εἶχαν κάποια βάση ποὺ προσπαθοῦν καὶ τώρα νὰ μᾶς τρομοκρατήσουν. Αὐτὸ ὅμως δὲν ἔγινε ποτέ! Ἂν τώρα, τὴ στιγμὴ ποὺ πολεμούσαμε ἐμεῖς μὲ τοὺς Σπαρτιάτες, τάχτηκε ἐκεῖνος μὲ τὸ μέρος τοῦ ἑνὸς καὶ ἡ συμβολή του βάρυνε σὲ βάρος τῆς ἀντίπαλης μερίδας, τὸ γεγονὸς αὐτὸ δὲν εἶναι δυνατὸ νὰ ἀποτελέσῃ ἀπόδειξη γιὰ τὴ δικιά του δύναμη. Σὲ τέτοιες περιστάσεις εἶναι γνωστὸ ὅτι μικρὲς δυνάμεις φέρνουν συχνὰ ἀνυπολόγιστες μεταστροφὲς στὴν ἔκβαση τοῦ ἀγώνα. Σχετικὰ μάλιστα θὰ μπορούσαμε νὰ ἀναφέρωμε τοὺς Χιῶτες[92] γιὰ παράδειγμα, ποὺ μὲ ὅποιων τὸ μέρος συνταχθοῦν, αὐτοὶ ἐπικρατοῦν πάντα στὴ θάλασσα.

Δὲν εἶναι λοιπὸν σωστὸ νὰ κρίνωμε τὴ δύναμη τοῦ βασιλιᾶ ἀπὸ 140
τὰ ἀποτελέσματα ποὺ ἔφερε ἡ σύμπραξή του μὲ τὸν καθέναν ἀπὸ τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γονεν, ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ αὐτοῦ πεπολέμηκεν. Καὶ πρῶτον μὲν ἀποστάσης Αἰγύπτου τί διαπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν; Οὐκ ἐκεῖνος μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψεν τοὺς εὐδοκιμωτάτους Περσῶν, Ἀβροκόμαν καὶ Τιθραύστην καὶ Φαρνάβαζον, οὗτοι δὲ τρί' ἔτη μείναντες καὶ πλείω κακὰ παθόντες ἢ ποιήσαντες, τελευτῶντες οὕτως ἀπηλλάγησαν ὥστε τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευ-
141 θερίαν ἀγαπᾶν, ἀλλ' ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν; Μετὰ δὲ ταῦτ' ἐπ' Εὐαγόραν στρατεύσας, ὃς ἄρχει μὲν μιᾶς πόλεως [τῶν ἐν Κύπρῳ], ἐν δὲ ταῖς συνθήκαις ἔκδοτός ἐστιν, οἰκῶν δὲ νῆσον κατὰ μὲν θάλατταν προδεδυστύχηκεν, ὑπὲρ δὲ τῆς χώρας τρισχιλίους ἔχει μόνον πελταστάς, ἀλλ' ὅμως οὕτω ταπεινῆς δυνάμεως οὐ δύναται περιγενέσθαι βασιλεὺς πολεμῶν, ἀλλ' ἤδη μὲν ἓξ ἔτη διατέτριφεν, εἰ δὲ δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι, πολὺ πλείων ἐλπίς ἐστιν ἕτερον ἀποστῆναι πρὶν ἐκεῖνον ἐκπολιορκηθῆναι· τοιαῦται
142 βραδυτῆτες ἐν ταῖς πράξεσι ταῖς βασιλέως ἔνεισιν. Ἐν δὲ τῷ πολέμῳ τῷ περὶ Ῥόδον ἔχων μὲν τοὺς Λακεδαιμονίων συμμάχους εὔνους διὰ τὴν χαλεπότητα τῶν πολιτειῶν, χρώμενος δὲ ταῖς ὑπηρεσίαις ταῖς παρ' ἡμῶν, στρατηγοῦντος δ' αὐτῷ Κόνωνος, ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων, τοιοῦτον λαβὼν συναγωνιστὴν τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ προκινδυνεῦον ὑπὲρ τῆς Ἀσίας ὑπὸ τριήρων ἑκατὸν μόνων πολιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν, ὥστε τὸ μὲν ἐπ' ἐκείνῳ πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα [κίνδυνον] καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν μόλις ναυμαχοῦντες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δυό μας, ἀλλὰ ἀπὸ αὐτὰ ποὺ πέτυχε στὶς περιπτώσεις ποὺ πολεμοῦσε μόνος αὐτὸς γιὰ τὸ δικό του τὸ συμφέρο. Καὶ πρῶτα—πρῶτα μὲ ποιό τρόπο ἀντιμετώπισε τὴν ἀποστασία τῆς Αἰγύπτου[93]; Δὲν ἔστειλε γιὰ νὰ τοὺς πολεμήσουν τοὺς πιὸ ἔμπειρους στρατηγούς του, τὸν Ἀβροκόμα, τὸν Τιθραύστη, τὸν Φαρνάβαζο; Καὶ αὐτοὶ στὰ τρία χρόνια ποὺ ἔμειναν ἐκεῖ πέρα πιότερες συμφορὲς δὲν ἔπαθαν ἀπὸ αὐτὲς ποὺ προξένησαν οἱ ἴδιοι στοὺς ἐχθρούς τους; Καὶ τελικὰ δὲν ἔφυγαν ἀπὸ ἐκεῖ κάτω τόσο ντροπιασμένοι, ὥστε οἱ ἀποστάτες νὰ μὴν ἀρκοῦνται τώρα πιὰ νὰ ἐξασφαλίσουν μονάχα τὴν ἐλευθερία τους, ἀλλὰ νὰ θέλουν νὰ ἐπιβάλουν τὴ θέλησή τους καὶ στοὺς γείτονες;

Ὕστερα ἀπὸ τὰ γεγονότα αὐτὰ ἔκαμε ἐκστρατεία κατὰ τοῦ Εὐ- 141
αγόρα[94]. Αὐτὸς κυβερνάει μιὰ πόλη μόνο, καί, σύμφωνα μὲ τὴ συνθήκη τὴ γνωστή, ὁ ἴδιος ἀνήκει στὴν κυριαρχία τῆς Περσίας· ἀκόμα, μόλο ποὺ κατοικεῖ νησί, νικήθηκε στὴ θάλασσα πολλὲς φορὲς ὡς τώρα, καὶ γιὰ τὴν ὑπεράσπιση τῆς χώρας του μπορεῖ νὰ διαθέση μονάχα τρεῖς χιλιάδες πελταστές. Ὡστόσο, παρόλο ποὺ ἡ δύναμή του εἶναι σχεδὸν ἀνύπαρκτη, ὁ βασιλιὰς δὲν εἶναι σὲ θέση νὰ τὴ νικήση πολεμώντας. Καὶ ἔχει κιόλας ξοδέψει ἕξι χρόνια ὁλόκληρα γι' αὐτὴ τὴν ἱστορία· καί, ἂν εἶναι δυνατὸ νὰ συμπεράνη κανένας τὰ μελλούμενα ἀπὸ ὅσα προηγήθηκαν, εἶναι πιὸ πιθανὸ νὰ ἀποστατήση καὶ ἄλλος κανεὶς μὲς στὸ βασίλειό του προτοῦ νὰ ὑποκύψη ὁ Εὐαγόρας. Τόση ἀργοπορία διακρίνει συχνὰ ὅλες τὶς πράξεις τοῦ Πέρση βασιλιᾶ.

Στὴ ναυμαχία πάλι ποὺ ἔγινε στὴ Ρόδο[95] εἶναι γνωστὸ πὼς εἶχε 142
τὴ συμπάθεια ἀπὸ τοὺς συμμάχους τῶν Σπαρτιατῶν, ποὺ ἦταν δυσαρεστημένοι ἀπ' τὴν κακὴ πολιτειακὴ κατάσταση· ἀκόμα ἀπὸ μᾶς ναυτολογοῦσε τὰ πληρώματα τοῦ στόλου του καὶ εἶχε ναύαρχο τὸν Κόνωνα, τὸν πιὸ εὐσυνείδητο ἀπὸ τοὺς στρατηγούς, ποὺ οἱ Ἕλληνες τοῦ εἶχαν μεγάλη ἐμπιστοσύνη, μὰ καὶ τὸν πιὸ ἔμπειρο στοὺς ναυτικοὺς ἀγῶνες. Παρ' ὅλα αὐτὰ καὶ τὴ στιγμὴ ποὺ εἶχε τέτοιο συνεργάτη ἐκλεκτὸ γιὰ τὴν περίπτωση αὐτή, ἄφησε τρία χρόνια[96] τὸ ναυτικό του — ποὺ ὡστόσο ὑπεράσπιζε τὰ ἀσιατικὰ παράλια τοῦ Κράτους του — νὰ τὸ πολιορκοῦν μόνο ἑκατὸ τριήρεις τῶν Σπαρτιατῶν καὶ ἀρνήθηκε ἀδιάντροπα στοὺς στρατιῶτες του μισθὸ γιὰ δέκα πέντε μῆνες. Τόσο πού, ἂν ἦταν μονάχα στὸ χέρι τὸ δικό του, πολλὲς φορὲς σίγουρα θὰ εἶχαν διαλυθῆ· μόνο ἡ προσωπικότητα τοῦ Κόνωνα καὶ ἡ δημιουργία τῆς συμμαχίας τῆς Κορίνθου[97] τοὺς ὑποχρέωσε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

143 ἐνίκησαν. Καὶ ταῦτ' ἐστὶ τὰ βασιλικώτατα καὶ σεμνότατα τῶν
ἐκείνῳ πεπραγμένων, καὶ περὶ ὧν οὐδέποτε παύονται λέγοντες οἱ
βουλόμενοι τὰ τῶν βαρβάρων μεγάλα ποιεῖν. Ὥστ' οὐδεὶς ἂν ἔχοι
τοῦτ' εἰπεῖν ὡς οὐ δικαίως χρῶμαι τοῖς παραδείγμασιν, οὐδ' ὡς ἐπὶ
144 μικροῖς διατρίβω τὰς μεγίστας τῶν πράξεων παραλείπων· φεύ-
γων γὰρ ταύτην τὴν αἰτίαν τὰ κάλλιστα τῶν ἔργων διῆλθον, οὐκ
ἀμνημονῶν οὐδ' ἐκείνων, ὅτι Δερκυλίδας μὲν χιλίους ἔχων ὁπλίτας
τῆς Αἰολίδος ἐπῆρχεν, Δράκων δ' Ἀταρνέα καταλαβὼν καὶ τρισχι-
λίους πελταστὰς συλλέξας τὸ Μύσιον πεδίον ἀνάστατον ἐποίησεν,
Θίβρων δ' ὀλίγῳ πλείους τούτων διαβιβάσας τὴν Λυδίαν ἅπασαν
ἐπόρθησεν, Ἀγησίλαος δὲ τῷ Κυρείῳ στρατεύματι χρώμενος μι-
145 κροῦ δεῖν τῆς ἐντὸς Ἅλυος χώρας ἐκράτησεν. Καὶ μὴν οὐδὲ τὴν
στρατιὰν τὴν μετὰ τοῦ βασιλέως περιπολοῦσαν, οὐδὲ τὴν Περσῶν ἀν-
δρείαν ἄξιον φοβηθῆναι· καὶ γὰρ ἐκεῖνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ
τῶν Κύρῳ συναναβάντων οὐδὲν βελτίους ὄντες τῶν ἐπὶ θαλάττῃ.
Τὰς μὲν γὰρ ἄλλας μάχας ὅσας ἡττήθησαν ἐῶ, καὶ τίθημι στασιά-
ζειν αὐτοὺς καὶ μὴ βούλεσθαι προθύμως πρὸς τὸν ἀδελφὸν τὸν βασι-
146 λέως διακινδυνεύειν. Ἀλλ' ἐπειδὴ Κύρου τελευτήσαντος συνῆλ-
θον ἅπαντες οἱ τὴν Ἀσίαν κατοικοῦντες, ἐν τούτοις τοῖς καιροῖς οὕ-
τως αἰσχρῶς ἐπολέμησαν ὥστε μηδένα λόγον ὑπολιπεῖν τοῖς εἰθι-
σμένοις τὴν Περσῶν ἀνδρείαν ἐπαινεῖν. Λαβόντες γὰρ ἑξακισχιλίους
τῶν Ἑλλήνων οὐκ ἀριστίνδην ἐπειλεγμένους, ἀλλ' οἳ διὰ φαυλότητ'
ἐν ταῖς αὑτῶν [πόλεσιν] οὐχ οἷοί τ' ἦσαν ζῆν, ἀπείρους μὲν τῆς χώ-
ρας ὄντας, ἐρήμους δὲ συμμάχων γεγενημένους, προδεδομένους δ'
ὑπὸ τῶν συναναβάντων, ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ μεθ'
147 οὗ συνηκολούθησαν, τοσοῦτον αὐτῶν ἥττους ἦσαν ὥσθ' ὁ βασι-
λεὺς ἀπορήσας τοῖς παροῦσι πράγμασι καὶ καταφρονήσας τῆς περὶ
αὑτὸν δυνάμεως τοὺς ἄρχοντας τοὺς τῶν ἐπικούρων ὑποσπόνδους

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νὰ ναυμαχήσουν μὲ τὸ ζόρι καὶ νὰ νικήσουν τελικά.

Καὶ αὐτὰ βέβαια εἶναι τὰ πιὸ λαμπρά, τὰ πιὸ βασιλικά του κα- 143
τορθώματα, αὐτὰ ποὺ ὅσοι θέλουν νὰ ἐξάρουν τὶς πράξεις τῶν βαρβάρων ποτὲ δὲν παύουν νὰ τὰ μνημονεύουν. Ἔτσι κανεὶς δὲν ἔχει νὰ μοῦ πῇ ὅτι δὲ χρησιμοποιῶ τὰ παραδείγματα καλόπιστα καὶ ὅτι χρονοτριβῶ σὲ λεπτομέρειες ἀσήμαντες παραμελώντας γεγονότα βαρυσήμαντα. Ἀκριβῶς γιὰ νὰ προλάβω μιὰ τέτοια κατηγορία, ἀνά- 144
φερα τὰ πιὸ λαμπρά τους ἔργα. Ὡστόσο δὲν ξεχνῶ οὔτε καὶ τὰ ἄλλα, ὅτι δηλ. ὁ Δερκυλίδας[98] μὲ χίλιους μόνο ἄντρες ἔγινε ἀπόλυτος κυρίαρχος στὴν Αἰολίδα· ὁ Δράκοντας[99] πῆρε τὸν Ἀταρνέα μὲ τρεῖς χιλιάδες πελταστὲς ποὺ μάζεψε, ἀλώνισε κυριολεκτικὰ τὴν πεδιάδα τῆς Μυσίας[100]· ὁ Θίβρωνας[101] ἔφερε στὴν Ἀσία λίγους μονάχα παραπάνω ἀπὸ αὐτοὺς καὶ ὑπόταξε ὅλη τὴ Λυδία· τέλος ὁ Ἀγησίλαος μὲ τὰ ἀπομεινάρια ἀπὸ τὸ στράτευμα τοῦ Κύρου[102] ἔγινε κύριος σχεδὸν σὲ ὅλη τὴ χώρα δῶθε ἀπὸ τὸν Ἅλυ[103].

Ἄλλωστε δὲν ἀξίζει νὰ φοβηθοῦμε βέβαια οὔτε τὴ στρατιά, 145
ποὺ διαρκῶς περιπολεῖ μαζὶ μὲ τὸ βασιλιά, οὔτε καὶ τὴν ἀνδρεία τῶν βαρβάρων. Ἀπόδειξαν δὰ ὁλοκάθαρα οἱ Ἕλληνες, ποὺ πῆραν μέρος τότε στὴν ἐκστρατεία τοῦ Κύρου, ὅτι αὐτοὶ δὲν ἔχουν περισσότερη παλικαριὰ ἀπὸ ὅσους στρατολογοῦνε στὰ παράλια. Ἀφήνω κατὰ μέρος, ἂν θέλετε, ὅλες τὶς μάχες, ὅπου νικήθηκαν, καὶ δέχομαι τὴν ἄποψη ὅτι στασίαζαν, γιατὶ δὲν ἤθελαν νὰ πολεμήσουν μὲ τὸν ἀδερφὸ
τοῦ βασιλιᾶ. Μὰ καὶ ἀπὸ τότε ποὺ σκοτώθηκε ὁ Κύρος καὶ ὅλοι οἱ 146
Ἀσιάτες βρέθηκαν ἑνωμένοι, κάτω ἀπὸ τὶς λαμπρὲς αὐτὲς συνθῆκες πολέμησαν μὲ τρόπο τόσο θλιβερό, ὥστε δὲν ἄφησαν κανένα ἐπιχείρημα σ' αὐτοὺς ποὺ συνηθίζουν νὰ ἐπαινοῦν τὴν ἀντρεία τῶν Περσῶν. Εἶναι γνωστὸ πὼς εἶχαν μὲς στὰ χέρια τους ἔξι χιλιάδες[104] Ἕλληνες, ὄχι βέβαια διαλεγμένους καὶ ἀπ' τοὺς καλύτερους, ἀλλὰ ἀνθρώπους ποὺ κακίες καὶ ἐλαττώματα δὲν τοὺς ἄφηναν νὰ ζήσουν στὸν τόπο τους καὶ ποὺ δὲν ἤξεραν τὴ χώρα τῶν βαρβάρων καὶ εἶχαν ἐγκαταλειφθῆ ἀπ' τοὺς συμμάχους τους, ποὺ εἶχαν προδοθῆ ἀπὸ τοὺς συντρόφους τους[105] καὶ εἶχαν χάσει τὸν ἀρχηγό, αὐτὸν ποὺ
καὶ ἀκολούθησαν. Ὅμως τόσο κατώτεροι ἀπὸ αὐτοὺς φάνηκαν τότε οἱ 147
βάρβαροι, ὥστε ὁ βασιλιάς τους τὰ ἔχασε μπρὸς στὴν κατάσταση αὐτή, καὶ μὴν ἔχοντας καμιὰ ἐμπιστοσύνη στὶς περσικὲς δυνάμεις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συλλαβεῖν ἐτόλμησεν, ὡς εἰ τοῦτο παρανομήσειε συνταράξων τὸ στρατόπεδον, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν ἢ πρὸς ἐκεί-
148 νους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι. Διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς καὶ τῶν στρατιωτῶν συμμεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφοράν, ἀπιοῦσιν αὐτοῖς Τισσαφέρνην καὶ τοὺς ἱππέας συνέπεμψεν, ὑφ' ὧν ἐκεῖνοι παρὰ πᾶσαν ἐπιβουλευόμενοι τὴν ὁδὸν ὁμοίως διεπορεύθησαν ὡσπερανεὶ προπεμπόμενοι, μάλιστα μὲν φοβούμενοι τὴν ἀοίκητον τῆς χώρας, μέγιστον δὲ τῶν ἀγαθῶν νομίζοντες, εἰ τῶν πο-
149 λεμίων ὡς πλείστοις ἐντύχοιεν. Κεφάλαιον δὲ τῶν εἰρημένων· ἐκεῖνοι γὰρ οὐκ ἐπὶ λείαν ἐλθόντες, οὐδὲ κώμην καταλαβόντες, ἀλλ' ἐπ' αὐτὸν τὸν βασιλέα στρατεύσαντες, ἀσφαλέστερον κατέβησαν τῶν περὶ φιλίας ὡς αὐτὸν πρεσβευόντων. Ὥστε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὑτῶν μαλακίαν· καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας πολλὰς μάχας ἥττηνται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν, — οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλονθ', οἱ δ' αἰσχρῶς ἐσώθησαν, — καὶ τελευτῶντες ὑπ' αὐτοῖς τοῖς βασιλείοις καταγέλαστοι γεγόνασιν.

150 Καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ πάντ' εἰκότως ἀποβέβηκεν· οὐ γὰρ οἷόν τε τοὺς οὕτω τρεφομένους καὶ πολιτευομένους οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν οὔτ' ἐν ταῖς μάχαις τρόπαιον ἱστάναι τῶν πολεμίων. Πῶς γὰρ ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν ἐγγενέσθαι δύναιτ' ἂν ἢ στρατηγὸς δεινὸς ἢ στρατιώτης ἀγαθός, ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυμένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν
151 παρ' ἡμῖν οἰκετῶν πεπαιδευμένος; Οἱ δ' ἐν ταῖς μεγίσταις δόξαις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πού τὸν ἔζωναν, τόλμησε νὰ συλλάβη ὅλους τοὺς ἀρχηγοὺς τοῦ μισθοφορικοῦ στρατοῦ τοῦ Κύρου, καὶ αὐτὸ κάτω ἀπὸ τὴν προστασία τῶν σπονδῶν. Εἶχε, βλέπετε, τὴν ἰδέα πῶς μὲ τὴ μιαρή του πράξη θὰ ἔφερνε ἄνω κάτω τὸ στρατόπεδο τῶν Ἑλλήνων καὶ προτίμησε νὰ τὰ βάλη καλύτερα μὲ τοὺς θεοὺς παρὰ νὰ ἀναμετρηθῆ ἀντρίκια μὲ τοὺς Ἕλληνες.

Καὶ ὅταν τὸ ὕπουλό του σχέδιο ἀπότυχε, γιατὶ οἱ στρατιῶτες 148
μας ἔμειναν ἀκλόνητοι στὶς θέσεις τους καὶ ἀντιμετώπισαν τὴ συμφορὰ σὰν ἄντρες, κατὰ τὴν ἐπιστροφή τους στὴν πατρίδα ἔστειλε τὸν Τισσαφέρνη μὲ ἱππικὸ νὰ τοὺς συνοδέψη. Καὶ παρόλο ποὺ αὐτοὶ τοὺς παρακολουθοῦσαν ἄγρυπνα σὲ ὅλη τὴ διάρκεια τῆς πορείας, πορεύτηκαν σὰ νὰ εἶχαν συνοδεία τιμητική· καὶ ἔνιωθαν φόβο μόνο σὲ χῶρες ἀκατοίκητες, ἐνῶ, ἂν συναντοῦσαν ὅσο γινόταν περισσότερους ἐχθρούς, τὸ θεωροῦσαν μεγάλη εὐτυχία.

Καί, γιὰ ἀνακεφαλαίωση στὰ ὅσα εἶπα ὡς τώρα, θέλω νὰ σᾶς τονίσω 149
τοῦτο ἐδῶ: Ἐκεῖνοι—ποὺ δὲν ἦρθαν βέβαια γιὰ λαφυραγωγία οὔτε καὶ γιὰ νὰ καταχτήσουν καμιὰ πόλη ἀσήμαντη, μὰ εἶχαν ἐκστρατεύσει μὲ ἐχθρικὴ διάθεση γι' αὐτὸν τὸν ἴδιο τὸν Πέρση βασιλιὰ — γύρισαν πίσω μὲ μεγαλύτερη ἀσφάλεια ἀπὸ ὅση οἱ πρέσβεις ποὺ ἔρχονται στὴ χώρα του, γιὰ νὰ συνάψουν συμμαχία[107]. Θαρρῶ λοιπὸν πῶς δὲν ὑπάρχει τόπος ποὺ δὲ γνώρισε σὲ ὅλη τὴν ἔκτασή της τὴ δειλία καὶ τὴ νωθρότητα τοῦ περσικοῦ στρατοῦ: Καὶ στὰ παράλια τῆς Ἀσίας πολλὲς φορὲς νικήθηκε[108], ἀλλὰ καὶ στὴν Εὐρώπη[109], ὅταν διάβηκε, πολὺ ἀκριβὰ τὸ πλήρωσε: Ἄλλοι χάθηκαν κατὰ τρόπο ἄθλιο, ἄλλοι σώθηκαν ντροπιασμένοι καὶ δειλοί[110] καὶ τελευταῖα μέσα στὰ ἴδια τὰ ἀνάκτορα[111] τοῦ Πέρση βασιλιᾶ ἔγιναν καταγέλαστοι.

Καὶ τίποτα ἀπὸ αὐτὰ δὲν ἔγινε στὴν τύχη· ὅλα ἦταν φυσικὸ νὰ 150
γίνουν ὅπως ἔγιναν. Δὲν εἶναι δυνατὸν οἱ ἄνθρωποι ποὺ ἀνατρέφονται μὲ αὐτὸν τὸν τρόπο καὶ κάτω ἀπὸ τὴν τρομάρα τοῦ δεσποτικοῦ τους πολιτεύματος νὰ ἔχουν μέσα τους καμιὰ ἀρετή, δὲν εἶναι δυνατὸ νὰ στήνουν τρόπαια στὶς μάχες ἐνάντια στοὺς ἐχθρούς. Πῶς εἶναι δυνατὸν ἀλήθεια, μὲ τὰ δικά τους ἤθη, νὰ ἀναδειχτῆ ποτὲ ἄξιος στρατηγὸς ἢ καὶ γενναῖος στρατιώτης, ἀφοῦ ἡ μάζα ἡ μεγάλη εἶναι ἄταχτος ὄχλος χωρὶς καμιὰ πεῖρα στοὺς κινδύνους, ἀνίκανοι γιὰ πόλεμο, γιὰ τὴ σκλαβιὰ ὅμως καλύτερα ἐκπαιδευμένοι καὶ ἀπὸ τοὺς δούλους μας;

Ὅσοι πάλι κατέχουν μεγάλα ἀξιώματα, αὐτοὶ ποτὲ δὲν ἔζησαν μὲ 151

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς οὐδεπώποτ'
ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγουσιν εἰς μὲν τοὺς ὑβρίζοντες,
τοῖς δὲ δουλεύοντες, ὡς ἂν ἄνθρωποι μάλιστα τὰς φύσεις διαφθα-
ρεῖεν, καὶ τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ
ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχοντες, ἐξεταζόμε-
νοι πρὸς αὐτοῖς τοῖς βασιλείοις καὶ προκαλινδούμενοι καὶ πάντα τρό-
πον μικρὸν φρονεῖν μελετῶντες, θνητὸν μὲν ἄνδρα προσκυνοῦντες καὶ
δαίμονα προσαγορεύοντες, τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων
152 ὀλιγωροῦντες. Τοιγαροῦν οἱ καταβαίνοντες αὐτῶν ἐπὶ θάλατταν,
οὓς καλοῦσι σατράπας, οὐ καταισχύνουσι τὴν ἐκεῖ παίδευσιν, ἀλλ'
ἐν τοῖς ἤθεσι τοῖς αὐτοῖς διαμένουσιν, πρὸς μὲν τοὺς φίλους ἀπίστως,
πρὸς δὲ τοὺς ἐχθροὺς ἀνάνδρως ἔχοντες, καὶ τὰ μὲν ταπεινῶς, τὰ
δ' ὑπερηφάνως ζῶντες, τῶν μὲν συμμάχων καταφρονοῦντες, τοὺς
153 δὲ πολεμίους θεραπεύοντες. Τὴν μέν γε μετ' Ἀγησιλάου στρα-
τιὰν ὀκτὼ μῆνας ταῖς αὐτῶν δαπάναις διέθρεψαν, τοὺς δ' ὑπὲρ αὐ-
τῶν κινδυνεύοντας ἑτέρου τοσούτου χρόνου τὸν μισθὸν ἀπεστέρησαν·
καὶ τοῖς μὲν Κισθήνην καταλαβοῦσιν ἑκατὸν τάλαντα διένειμαν, τοὺς
δὲ μεθ' αὐτῶν εἰς Κύπρον στρατευσαμένους μᾶλλον ἢ τοὺς αἰχμα-
154 λώτους ὕβριζον. Ὡς δ' ἁπλῶς εἰπεῖν καὶ μὴ καθ' ἓν ἕκαστον,
ἀλλ' ὡς ἐπὶ τὸ πολύ, τίς ἢ τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμο-
νήσας ἀπῆλθεν, ἢ τῶν ὑπ' ἐκείνοις γενομένων οὐκ αἰκισθεὶς τὸν βίον
ἐτελεύτησεν; Οὐ Κόνωνα μὲν ὃς ὑπὲρ τῆς Ἀσίας στρατηγήσας
τὴν ἀρχὴν τὴν Λακεδαιμονίων κατέλυσεν, ἐπὶ θανάτῳ συλλαβεῖν
ἐτόλμησαν, Θεμιστοκλέα δ' ὃς ὑπὲρ τῆς Ἑλλάδος αὐτοὺς κατεναυμά-
155 χησε, τῶν μεγίστων δωρεῶν ἠξίωσαν; Καίτοι πῶς χρὴ τὴν τού-
των φιλίαν ἀγαπᾶν, οἳ τοὺς μὲν εὐεργέτας τιμωροῦνται, τοὺς δὲ κα-
κῶς ποιοῦντας οὕτως ἐπιφανῶς κολακεύουσιν; Περὶ τίνας δ' ἡμῶν
οὐκ ἐξημαρτήκασιν; Ποῖον δὲ χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κάποια ἰσορροπία, ποτὲ δὲ νοιάστηκαν γιὰ τὸ συμφέρο τὸ κοινό, γιὰ τὸ καλὸ τοῦ Κράτους· ἀντίθετα κάθε στιγμὴ δείχνουν τὴν περιφρόνηση στοὺς κατώτερους, τὴ δουλοπρέπειά τους στοὺς ἀνώτερους, σὰν τοὺς ἀνθρώπους ποὺ ἡ διαφθορὰ τοὺς ἔχει σημαδέψει. Καὶ γενικὰ τὰ σώματά τους εἶναι μαλθακά, ἀπὸ τὸν πλοῦτο βουτηγμένα στὴν πολυτέλεια καὶ στὴ χλιδή, καὶ ἡ ψυχή τους πάντα δουλική, ταπεινωμένη καὶ τρομοκρατημένη ἀπὸ τὸ δυνάστη· ἀφήνουν νὰ τοὺς ἐρευνοῦν ἐξευτελιστικὰ στοῦ παλατιοῦ τὶς πόρτες, σέρνονται κατὰ γῆς, μὲ κάθε τρόπο ἀσκοῦνται στὴν ταπείνωση[112]· λατρεύουν καὶ προσκυνοῦν ἕνα θνητὸ ποὺ τὸν ἀποκαλοῦν θεό, ἀδιαφοροῦν γιὰ τοὺς θεοὺς καὶ λογαριάζουν τοὺς ἀνθρώπους.

Ἄλλωστε καὶ αὐτοὶ ποὺ διορίζονται σατράπες καὶ κατεβαίνουν 152
στὶς παραθαλάσσιες περιοχές ποτὲ δὲ θὰ ντροπιάσουν τὴν ἀγωγὴ ποὺ ἔλαβαν στὴ χώρα τους! Θὰ βαδίσουν ἀκριβῶς πάνω στὰ ἴδια χνάρια, ἄπιστοι γιὰ τοὺς φίλους, ἄναντροι πρὸς τοὺς ἐχθρούς τους, πότε μὲς στὴν ταπείνωση, πότε μέσα στὴν περηφάνια βουτηγμένοι, μὲ ἔπαρση καὶ καταφρόνια στοὺς συμμάχους καὶ στοὺς ἐχθροὺς κόλακες
σιχαμένοι. Τὸ στράτευμα τοῦ Ἀγησίλαου τὸ συντήρησαν μὲ ἔξοδα 153
δικά τους ὀχτὼ μῆνες[113]· τοὺς στρατιῶτες ὅμως, ποὺ γιὰ λογαριασμό τους ἀντιμετώπισαν κινδύνους, τοὺς κατακράτησαν δυὸ φορὲς τόσους μῆνες τοὺς μισθούς. Καὶ αὐτοὺς ποὺ εἶχαν καταλάβει τὴν Κισθήνη[114] ἑκατὸ τάλαντα τοὺς μοίρασαν, ἐκείνους ὅμως ποὺ πῆραν μαζί τους μέρος στὴν ἐκστρατεία τῆς Κύπρου τοὺς φέρθηκαν πιὸ βάναυσα καὶ
ἀπὸ τοὺς αἰχμαλώτους. Καὶ γιὰ νὰ σταθοῦμε σὲ γενικὲς γραμμές, χω- 154
ρὶς νὰ πελαγοδρομοῦμε σὲ λεπτομέρειες εἰδικές, ποιός ἀπὸ αὐτοὺς ποὺ τοὺς πολέμησαν δὲν ἔφυγε πλούσιος; Καὶ ποιός ἀπὸ ὅσους ἔπεσαν στὰ χέρια τους δὲν πέθανε φριχτὰ ἀπὸ βασανιστήρια; Δὲν ἔπιασαν τὸν Κόνωνα θρασύτατα γιὰ νὰ τὸν θανατώσουν[115], αὐτὸν ποὺ ναύαρχος γιὰ τὸ συμφέρο τῆς Ἀσίας κατόρθωσε νὰ καταλύση τὴν ἐξουσία τῶν Σπαρτιατῶν; Καὶ τὸ Θεμιστοκλῆ[116], ποὺ τοὺς κατατρόπωσε στὴ Σαλαμίνα, γιὰ νὰ ὑπερασπίσῃ τὴν Ἑλλάδα, δὲν τὸν ἔκριναν ἄξιο γιὰ τὰ ἀκριβότερα δῶρα καὶ γιὰ τὶς πιὸ λαμπρὲς τιμές;

Τὸ ἀδιάλλακτο μίσος τῶν Ἑλλήνων γιὰ τοὺς Πέρσες.

Πῶς εἶναι δυνατὸ λοιπὸν νὰ ἐπιδιώκῃ ἄνθρωπος τὴ φιλία τῶν 155
βαρβάρων, ποὺ τιμωροῦν σκληρὰ τοὺς εὐεργέτες τους καὶ κολακεύουν ἐπιδεικτικὰ ἐκείνους ποὺ τοὺς βλάφτουν; Καὶ ποιόν τάχα ἀπὸ μᾶς δὲν ἔχουν ἀδικήσει; Καὶ ποιά στιγμὴ σταμάτησαν νὰ ἑτοιμά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*τοῖς Ἕλλησιν; Τί δ' οὐκ ἐχθρὸν αὐτοῖς ἐστὶν τῶν παρ' ἡμῖν, οἳ καὶ
τὰ τῶν θεῶν ἕδη καὶ τοὺς νεὼς συλᾶν ἐν τῷ προτέρῳ πολέμῳ καὶ*
156 *κατακάειν ἐτόλμησαν; Διὸ καὶ τοὺς Ἴωνας ἄξιον ἐπαινεῖν ὅτι τῶν
ἐμπρησθέντων ἱερῶν ἐπηράσαντ' εἴ τινες κινήσειαν ἢ πάλιν εἰς τἀρ-
χαῖα καταστῆσαι βουληθεῖεν, οὐκ ἀποροῦντες πόθεν ἐπισκευάσωσιν,
ἀλλ' ἵν' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς τῶν βαρβάρων ἀσεβείας,
καὶ μηδεὶς πιστεύῃ τοῖς τοιαῦτ' εἰς τὰ τῶν θεῶν [ἕδη] ἐξαμαρτεῖν
τολμῶσιν, ἀλλὰ καὶ φυλάττωνται καὶ δεδίωσιν, ὁρῶντες αὐτοὺς οὐ
μόνον τοῖς σώμασιν ἡμῶν, ἀλλὰ καὶ τοῖς ἀναθήμασιν πολεμήσαντας.*
157 *Ἔχω δὲ καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέρων τοιαῦτα διελ-
θεῖν. Καὶ γὰρ οὗτοι πρὸς μὲν τοὺς ἄλλους ὅσοις πεπολεμήκασιν, ἅμα
διαλλάττονται καὶ τῆς ἔχθρας τῆς γεγενημένης ἐπιλανθάνονται, τοῖς
δ' ἠπειρώταις οὐδ' ὅταν εὖ πάσχωσι χάριν ἴσασιν· οὕτως ἀείμνη-
στον τὴν ὀργὴν πρὸς αὐτοὺς ἔχουσιν. Καὶ πολλῶν μὲν οἱ πατέρες
ἡμῶν μηδισμοῦ θάνατον κατέγνωσαν, ἐν δὲ τοῖς συλλόγοις ἔτι καὶ
νῦν ἀρὰς ποιοῦνται, πρὶν ἄλλο τι χρηματίζειν, εἴ τις ἐπικηρυκεύεται
Πέρσαις τῶν πολιτῶν· Εὐμολπίδαι δὲ καὶ Κήρυκες ἐν τῇ τελετῇ
τῶν μυστηρίων διὰ τὸ τούτων μῖσος καὶ τοῖς ἄλλοις βαρβάροις εἴρ-*
158 *γεσθαι τῶν ἱερῶν ὥσπερ τοῖς ἀνδροφόνοις προαγορεύουσιν. Οὕτω
δὲ φύσει πολεμικῶς πρὸς αὐτοὺς ἔχομεν ὥστε καὶ τῶν μύθων ἥδι-
στα συνδιατρίβομεν τοῖς Τρωϊκοῖς καὶ Περσικοῖς, [καὶ] δι' ὧν ἔστι
πυνθάνεσθαι τὰς ἐκείνων συμφοράς. Εὕροι δ' ἄν τις ἐκ μὲν τοῦ πο-
λέμου τοῦ πρὸς τοὺς βαρβάρους ὕμνους πεποιημένους, ἐκ δὲ τοῦ πρὸς
τοὺς Ἕλληνας θρήνους ἡμῖν γεγενημένους, καὶ τοὺς μὲν ἐν ταῖς ἑορ-
ταῖς ᾀδομένους, τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς ἡμᾶς μεμνημένους.*
159 *Οἶμαι δὲ καὶ τὴν Ὁμήρου ποίησιν μείζω λαβεῖν δόξαν ὅτι καλῶς τοὺς
πολεμήσαντας τοῖς βαρβάροις ἐνεκωμίασεν καὶ διὰ τοῦτο βουληθῆναι*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζουν συμφορὲς γιὰ τὴν Ἑλλάδα; Καὶ ποιό πράγμα ἑλληνικὸ εἶναι ποὺ δὲ μισοῦν αὐτοί, ποὺ δὲν ἐδίστασαν στὸν προηγούμενο πόλεμο νὰ λεηλατήσουν καὶ νὰ παραδώσουν στὶς φλόγες καὶ τῶν θεῶν ἀκόμα τὰ ἀγάλματα καὶ τοὺς ναούς;

Γι' αὐτὸ κιόλας οἱ Ἴωνες ἀξίζουν κάθε ἔπαινο, ποὺ ἄφησαν κατάρα[117] σὲ ὅποιον ἀγγίξῃ τοὺς καμένους τοὺς ναοὺς ἢ σὲ ὅποιον διανοηθῇ νὰ τοὺς ἐπαναφέρῃ στὴν παλιά τους κατάσταση. Δὲν ἦταν βέβαια τὰ μέσα ποὺ τοὺς ἔλειπαν νὰ τοὺς ἀναστηλώσουν, ἀλλὰ ἤθελαν νὰ θυμίζουν συνεχῶς τὴν ἀσέβεια τῶν βαρβάρων στὶς ἐπερχόμενες γενιές, ἔτσι ποὺ κανένας πιὰ νὰ μὴν τοὺς ἔχῃ ἐμπιστοσύνη, ἀφοῦ τόλμησαν τέτοιες ντροπὲς γιὰ τοὺς θεούς, παρὰ νὰ τοὺς φοβοῦνται καὶ νὰ φυλάγωνται ἀπὸ αὐτούς, βλέποντας πῶς τὰ ἔβαλαν ὄχι μόνο μὲ τὴ δική μας τὴ ζωή, ἀλλὰ ἀκόμα καὶ μὲ τὰ ἀφιερώματά μας στοὺς θεούς. 156

Ἔχω βέβαια καὶ γιὰ τοὺς συμπολίτες μας νὰ ἀναφέρω παραδείγματα ἀνάλογα. Δηλαδὴ καὶ αὐτοὶ μὲ ὅσους ἔχουν πολεμήσει μέχρι τώρα συμφιλιώνονται εὔκολα καὶ λησμονοῦν τὴν ἔχθρα ποὺ τοὺς χώριζε. Στοὺς κατοίκους ὅμως τῆς Ἀσίας, οὔτε καὶ ὅταν εὐεργετοῦνται ἀπὸ ἐκείνους, ποτὲ δὲν τοὺς ἀναγνωρίζουν καμιὰ χάρη· τόσο εἶναι τὸ μίσος ποὺ νιώθουνε γιὰ κείνους. Πολλοὺς ἐξάλλου καταδίκασαν σὲ θάνατο οἱ πρόγονοί μας, γιατὶ ἔδειξαν συμπάθεια στοὺς Μήδους· καὶ τώρα ἀκόμα στὶς συνελεύσεις τοῦ λαοῦ, πρὶν ἀπὸ τὸ θέμα τῆς ἡμέρας, διατυπώνουν κατάρες γιὰ κεῖνον ποὺ θὰ πρότεινε ἀποστολὴ πρεσβείας στὴν Περσία. Ὡς καὶ στὰ Ἐλευσίνια μυστήρια οἱ Εὐμολπίδες καὶ οἱ Κήρυκες[118], ἀπὸ τὸ φοβερό τους μίσος γιὰ τοὺς Πέρσες, ἀπαγορεύουν τὶς τελετὲς καὶ σὲ ὅλους τοὺς βαρβάρους, ὅπως στοὺς δολοφόνους. 157

Καὶ τόσο ζυμωμένη μὲ τὴ φύση μας εἶναι ἡ ἔχθρα μας μὲ αὐτούς, ὥστε καὶ ἀπὸ τὶς διηγήσεις τὶς παλιὲς περισσότερο χαιρόμαστε ὅσες μιλᾶνε γιὰ τοὺς Τρῶες καὶ τοὺς Πέρσες, τὶς διηγήσεις δηλ. ποὺ μᾶς πληροφοροῦν γιὰ ὅλες τὶς συμφορές τους. Θὰ μποροῦσαμε μάλιστα νὰ βροῦμε ὅτι ἀπὸ τὸν πόλεμο μὲ τοὺς βαρβάρους οἱ ποιητές μας ἔχουν ἐμπνευστῆ τραγούδια θριαμβευτικά, ἐνῶ ἀπὸ τοὺς πολέμους μεταξύ μας μονάχα θρήνους θλιβερούς: Τὰ πρῶτα τὰ τραγουδᾶμε στὶς γιορτές μας, ἐνῶ τοὺς θρήνους τοὺς θυμόμαστε μόνο στὶς συμφορές μας. 158

Ἔχω τὴ γνώμη μάλιστα ὅτι καὶ ἡ ποίηση τοῦ Ὁμήρου τιμήθηκε ξεχωριστὰ κυρίως γιατὶ ἔπλεξε μὲ τέχνη θαυμαστὴ τὸν ὕμνο τῶν ἡρώων ποὺ πολέμησαν γενναῖα τότε μὲ τοὺς βαρβάρους. Γι' αὐτὸ 159

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν τέχνην ἔν τε τοῖς
τῆς μουσικῆς ἄθλοις καὶ τῇ παιδεύσει τῶν νεωτέρων, ἵνα πολλάκις
ἀκούοντες τῶν ἐπῶν ἐκμανθάνωμεν τὴν ἔχθραν τὴν ὑπάρχουσαν πρὸς
αὐτοὺς καὶ ζηλοῦντες τὰς ἀρετὰς τῶν στρατευσαμένων τῶν αὐτῶν*
160 *ἔργων ἐκείνοις ἐπιθυμῶμεν. Ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι
τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς, μάλιστα δ' ὁ παρὼν καιρός,
οὗ σαφέστερον οὐδέν. Ὃν οὐκ ἀφετέον· καὶ γὰρ αἰσχρὸν παρόντι μὲν
μὴ χρῆσθαι, παρελθόντος δ' αὐτοῦ μεμνῆσθαι. Τί γὰρ ἂν καὶ βουλη-
θεῖμεν ἡμῖν προσγενέσθαι, μέλλοντες βασιλεῖ πολεμεῖν, ἔξω τῶν νῦν*
161 *ὑπαρχόντων; Οὐκ Αἴγυπτος μὲν αὐτοῦ καὶ Κύπρος ἀφέστηκεν,
Φοινίκη δὲ καὶ Συρία διὰ τὸν πόλεμον ἀνάστατοι γεγόνασιν, Τύρος
δ' ἐφ' ᾗ μέγ' ἐφρόνησεν, ὑπὸ τῶν ἐχθρῶν τῶν ἐκείνου κατείληπται;
Τῶν δ' ἐν Κιλικίᾳ πόλεων τὰς μὲν πλείστας οἱ μεθ' ἡμῶν ὄντες ἔχου-
σιν, τὰς δ' οὐ χαλεπόν ἐστιν κτήσασθαι. Λυκίας δ' οὐδ' εἷς πώποτε*
162 *Περσῶν ἐκράτησεν. Ἑκατόμνως δ' ὁ Καρίας ἐπίσταθμος τῇ μὲν
ἀληθείᾳ πολὺν ἤδη χρόνον ἀφέστηκεν, ὁμολογήσει δ' ὅταν ἡμεῖς βου-
ληθῶμεν. Ἀπὸ δὲ Κνίδου μέχρι Σινώπης Ἕλληνες τὴν Ἀσίαν παρ-
οικοῦσιν, οὓς οὐ δεῖ πείθειν, ἀλλὰ μὴ κωλύειν πολεμεῖν. Καίτοι τοι-
ούτων ὁρμητηρίων ὑπαρξάντων καὶ τοσούτου πολέμου τὴν Ἀσίαν
περιστάντος τί δεῖ τὰ συμβησόμενα λίαν ἀκριβῶς ἐξετάζειν; Ὅπου
γὰρ μικρῶν μερῶν ἥττους εἰσίν, οὐκ ἄδηλον, ὡς ἂν διατεθεῖεν εἰ πᾶσιν*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀκριβῶς καὶ οἱ πρόγονοί μας θέλησαν νὰ τῆς δώσουν μιὰ τέτοια θέση τιμητικὴ καὶ στοὺς ποιητικοὺς ἀγῶνες καὶ στὴν ἐκπαίδευση τῶν νέων[119]: Γιὰ νὰ κρατοῦμε στὴν ψυχή μας ἄσβηστο τὸ μίσος τὸ παλιὸ γιὰ τοὺς βαρβάρους ἀκούγοντας ἀδιάκοπα τὰ ἔπη τοῦ Ὁμήρου, καί, ἔχοντας γιὰ ὑπόδειγμα τὴν ἀρετὴ ἐκείνων ποὺ πῆραν μέρος σ' αὐτὴν τὴν ἐκστρατεία, νὰ μᾶς γεννιέται ἡ ἐπιθυμία νὰ ἐπιτελέσουμε καὶ ἐμεῖς παρόμοια κατορθώματα.

ΟΙ ΛΟΓΟΙ ΠΟΥ ΕΠΙΒΑΛΛΟΥΝ ΑΜΕΣΕΣ ΑΠΟΦΑΣΕΙΣ

Ἡ κατάλληλ[η] στιγμή.

Κατὰ τὴν γνώμη μου λοιπὸν πολλοὶ εἶναι οἱ λόγοι, ποὺ μᾶς πιέ- 160
ζουν νὰ πολεμήσουμε μὲ αὐτούς, κυρίως ὅμως ἡ σημερινὴ περίσταση, ποὺ εἶναι ὁ πιὸ ἰσχυρὸς παράγοντας. Αὐτὴ δὲν πρέπει νὰ τὴν ἀφήσωμε νὰ πάη χαμένη. Εἶναι χωρὶς ἄλλο ντροπὴ νὰ τὴν ἀφήνωμε ἀνεκμετάλλευτη, τώρα ποὺ εἶναι μέσα στὰ χέρια μας, γιὰ νὰ τὴ θυμηθοῦμε ὅταν θὰ γίνη παρελθόν. Τί ἄλλο λοιπὸν θὰ θέλαμε νὰ συμβῆ ἀκόμα παραπάνω ἀπὸ τὶς προϋποθέσεις ποὺ ὑπάρχουν τώρα, προκειμένου νὰ ἀποφασίσωμε ἐπιτέλους τὸν πόλεμο κατὰ τοῦ βασιλιᾶ;

Δὲν ἔχει μήπως ἀποστατήσει ἀπὸ αὐτὸν ἡ Αἴγυπτος καὶ ἡ Κύ- 161
προς; Δὲν ἔχει γίνει ἄνω κάτω ἀπὸ τὸν πόλεμο ἡ Φοινίκη καὶ ἡ Συρία; Τὴν Τύρο[120], ποὺ τόσο κόμπαζε γι' αὐτή, δὲν τοῦ τὴν πῆραν μήπως οἱ ἐχθροί του; Μὰ καὶ οἱ πιὸ πολλὲς πόλεις τῆς Κιλικίας βρίσκονται πιὰ στὰ χέρια τῶν συμμάχων μας καὶ ὅσες ἀπομένουν δὲν εἶναι δύσκολο νὰ τὶς κατακτήσουν. Ὅσο γιὰ τὴ Λυκία κανένας ποτὲ Πέρσης δὲν τῆς ἐπιβλήθηκε.

Καὶ ὁ Ἑκατόμνως[121] ὅμως, ὁ σατράπης τῆς Καρίας, πάει καιρὸς 162
πιὰ τώρα ποὺ στὴν πραγματικότητα ἔγινε ἀνεξάρτητος· καὶ θὰ τὸ ἐκδηλώση καὶ ἐπίσημα ὅταν ἐμεῖς θελήσωμε. Καὶ ἀπὸ τὴν Κνίδο ὡς τὴ Σινώπη Ἕλληνες κατοικοῦνε τὴν Ἀσία, καὶ αὐτοὺς δὲ χρειάζεται βέβαια νὰ τοὺς πείσωμε ἐμεῖς παρὰ νὰ μὴν τοὺς ἐμποδίσωμε νὰ πολεμήσουν τοὺς βαρβάρους. Ὕστερα ἀπὸ ὅλα αὐτά, ὅταν τέτοια ὁρμητήρια ὑπάρχουν καὶ ὁ πόλεμος ἀπὸ παντοῦ σχεδὸν κυκλώνη τὴν Ἀσία, γιὰ πιὸ λόγο τάχα νὰ λεπτολογοῦμε τόσο σχολαστικὰ τὸ κάθετι ποὺ θὰ προκύψη ἀπὸ αὐτόν; Ἀφοῦ οἱ βάρβαροι νικιοῦνται ἀπὸ ἀσήμαντες δυνάμεις, εἶναι ὁλοφάνερο τί ἔχουν νὰ τραβήξουν, ὅταν θὰ ἀναγκαστοῦν νὰ πολεμήσουν μὲ ὅλους μαζὶ τοὺς Ἕλληνες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

163 ἡμῖν πολεμεῖν ἀναγκασθεῖεν. Ἔχει δ' οὕτως. Ἂν μὲν ὁ βάρβαρος ἐρρωμενεστέρως κατάσχῃ τὰς πόλεις τὰς ἐπὶ θαλάττῃ, φρουρὰς μείζους ἐν αὐταῖς ἢ νῦν ἐγκαταστήσας, τάχ' ἂν καὶ τῶν νήσων αἱ περὶ τὴν ἤπειρον, οἷον Ῥόδος καὶ Σάμος καὶ Χίος, ἐπὶ τὰς ἐκείνου τύχας ἀποκλίνειαν· ἢν δ' ἡμεῖς αὐτὰς πρότεροι καταλάβωμεν, εἰκὸς τοὺς τὴν Λυδίαν καὶ Φρυγίαν καὶ τὴν ἄλλην τὴν ὑπερκειμένην χώραν οἰκοῦντας

164 ἐπὶ τοῖς ἐντεῦθεν ὁρμωμένοις εἶναι. Διὸ δεῖ σπεύδειν καὶ μηδεμίαν ποιεῖσθαι διατριβήν, ἵνα μὴ πάθωμεν ὅπερ οἱ πατέρες ἡμῶν. Ἐκεῖνοι γὰρ ὑστερίσαντες τῶν βαρβάρων καὶ προέμενοί τινας τῶν συμμάχων ἠναγκάσθησαν ὀλίγοι πρὸς πολλοὺς κινδυνεύειν, ἐξὸν αὐτοῖς προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον μετὰ πάσης τῆς τῶν Ἑλλήνων δυ-

165 νάμεως ἐν μέρει τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι. Δέδεικται γάρ, ὅταν τις πολεμῇ πρὸς ἀνθρώπους ἐκ πολλῶν τόπων συλλεγομένους ὅτι δεῖ μὴ περιμένειν ἕως ἂν ἐπιστῶσιν, ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρεῖν. Ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες ἅπαντα ταῦτ' ἐπηνωρθώσαντο καταστάντες εἰς τοὺς μεγίστους ἀγῶνας· ἡμεῖς δ' ἂν σωφρονῶμεν, ἐξ ἀρχῆς φυλαξόμεθα καὶ πειρασόμεθα φθῆναι περὶ

166 τὴν Λυδίαν καὶ τὴν Ἰωνίαν στρατόπεδον ἐγκαταστήσαντες εἰδότες ὅτι καὶ βασιλεὺς οὐχ ἑκόντων ἄρχει τῶν ἠπειρωτῶν, ἀλλὰ μείζω δύναμιν περὶ αὑτὸν ἑκάστων αὐτῶν ποιησάμενος· ἧς ἡμεῖς ὅταν κρείττω διαβιβάσωμεν, ὃ βουληθέντες ῥᾳδίως ἂν ποιήσαιμεν, ἀσφαλῶς ἅπασαν τὴν Ἀσίαν καρπωσόμεθα. Πολὺ δὲ κάλλιον ἐκείνῳ περὶ τῆς βασιλείας πολεμεῖν ἢ πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν.

167 Ἄξιον δ' ἐπὶ τῆς νῦν ἡλικίας ποιήσασθαι τὴν στρατείαν, ἵν' οἱ τῶν συμφορῶν κοινωνήσαντες οὗτοι καὶ τῶν ἀγαθῶν ἀπολαύσωσι καὶ μὴ πάντα τὸν χρόνον δυστυχοῦντες διαγάγωσιν. Ἱκανὸς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ νὰ τί θὰ συμβῆ ἀκριβῶς· ἂν ὁ βάρβαρος ἐνισχύση τὴν κατο- 163
χή του στὶς πόλεις τὶς παραθαλάσσιες τοποθετώντας ἀκόμα ἰσχυρότερες φρουρὲς ἀπὸ ὅσες τώρα, ἴσως καὶ τὰ νησιὰ κοντὰ στὶς ἀσιατικὲς ἀκτές, ὅπως ἡ Ρόδος, ἡ Σάμος καὶ ἡ Χίος, νὰ κλίνουν μὲ τὸ μέρος του· ἂν ὅμως τὸν προλάβωμε ἐμεῖς καὶ καταλάβωμε τὴν περιοχὴ αὐτή, εἶναι φυσικὸ καὶ αὐτοὶ πού κατοικοῦνε τὴ Λυδία, τὴ Φρυγία, ὡς καὶ τὴ χώρα πού ἁπλώνεται ἀκόμα παραμέσα, νὰ προσχωρήσουνε σ' ἐμᾶς, πού θὰ ἔχουμε πιὰ γιὰ ὁρμητήριο τὴν περιοχὴ αὐτή.

Γι' αὐτὸ καὶ πρέπει νὰ βιαστοῦμε, νὰ μὴν καθυστερήσωμε στι- 164
γμή, γιὰ νὰ μὴν πάθουμε ὅ,τι καὶ οἱ πατέρες μας. Ἐκεῖνοι κινητοποιήθηκαν ὕστερα ἀπὸ τοὺς βαρβάρους, ἄφησαν μερικοὺς ἀπὸ τοὺς συμμάχους τους[122] στὴν τύχη, καὶ ὕστερα ἀναγκάστηκαν λίγοι αὐτοὶ νὰ πολεμοῦνε μὲ πολλούς· καὶ ὅμως ἦταν στὸ χέρι τους νὰ διαβοῦν πρῶτοι στὴν Ἀσία καὶ μὲ ὅλες τὶς ἑλληνικὲς δυνάμεις ἑνωμένες νὰ ὑποτάξουν μὲ εὐκολία ἕνα πρὸς ἕνα τὰ ἔθνη τῆς Ἀσίας.

Γιατί, ὅταν κανένας πολεμάη μὲ ἀνθρώπους πού συναθροίζονται 165
ἀπὸ διαφόρους τόπους, ἔχει ἀποδειχτῆ ὅτι δὲν πρέπει νὰ περιμένη ὥσπου νὰ μαζευτοῦνε ὅλοι, ἀλλὰ νὰ ἐπιτεθῆ ἀμέσως, ὅταν ἀκόμα θὰ εἶναι σκορπισμένοι. Καὶ οἱ πρόγονοί μας βέβαια, πού ἔπεσαν στὰ σφάλματα αὐτά, τὰ ἐπανόρθωσαν ἀργότερα, ἀλλὰ ἀντιμετώπισαν κινδύνους φοβερούς. Ἐμεῖς ὅμως, ἂν ἔχουμε μυαλό, ἀπὸ τὴν ἀρχὴ θὰ πάρουμε τὰ μέτρα μας· Ἔγκαιρα θὰ ἐπιδιώξωμε νὰ ἐγκαταστήσωμε
στρατὸ στὴν Ἰωνία καὶ τὴ Λυδία, ἀφοῦ ξέρομε ὅτι ὁ Πέρσης βασι- 166
λιὰς ἐξουσιάζει τοὺς κατοίκους τῆς Ἀσίας ὄχι βέβαια μὲ τὴ δική τους θέληση, παρὰ ἀσφαλισμένος πάντα μὲ στρατιωτικὲς δυνάμεις πιὸ ἰσχυρὲς ἀπὸ ὅσες μπορεῖ νὰ διαθέση κάθε πόλη. Ἂν τώρα ἐμεῖς μεταφέρουμε δυνάμεις ἀκόμα ἰσχυρότερες ἐκεῖ — πράγμα εὐκολώτατο γιὰ μᾶς, ἀρκεῖ νὰ τὸ θελήσουμε — σίγουρα καὶ ἀκίνδυνα θὰ καρπωθοῦμε ὅλη τὴν Ἀσία. Καὶ ἀσφαλῶς εἶναι καλύτερα νὰ πολεμοῦμε ἐμεῖς μ' ἐκεῖνον, γιὰ νὰ τοῦ καταλύσουμε τὴ βασιλεία, παρὰ νὰ ἀλληλοτρωγώμαστε συνέχεια γιὰ τὸ ποιός θὰ πετύχη τὴν ἡγεμονία στὴν Ἑλλάδα.

Ἡ ἀνάγκη ἀποκαταστα- θοῦν τὸ γυ- γορώτερο ο- Ἕλληνες.

Εἶναι μάλιστα ἀνάγκη νὰ γίνη ἡ ἐκστρατεία στὶς μέρες τοῦτες 167
τῆς γενιᾶς μας, γιὰ νὰ ἀπολαύσουν ἐπιτέλους καὶ τὰ ἀγαθὰ αὐτοὶ πού ὡς τώρα γεύτηκαν μόνο τὶς συμφορὲς καὶ νὰ μὴν περάσουν τὴ ζωή τους ὅλη μέσα στὴ δυστυχία. Φτάνει τὸ παρελθὸν — τότε πού καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ ὁ παρεληλυθώς, ἐν ᾧ τί τῶν δεινῶν οὐ γέγονεν; Πολλῶν γὰρ κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων ὑπαρχόντων αὐτοὶ πλείω τῶν ἀναγ-
168 *καίων προσεξευρήκαμεν, πολέμους καὶ στάσεις ἡμῖν αὐτοῖς ἐμποιήσαντες, ὥστε τοὺς μὲν ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυσθαι, τοὺς δ' ἐπὶ ξένης μετὰ παίδων καὶ γυναικῶν ἀλᾶσθαι, πολλοὺς δὲ δι' ἔνδειαν τῶν καθ' ἡμέραν ἐπικουρεῖν ἀναγκαζομένους ὑπὲρ τῶν ἐχθρῶν τοῖς φίλοις μαχομένους ἀποθνήσκειν. Ὑπὲρ ὧν οὐδεὶς πώποτ' ἠγανάκτησεν, ἀλλ' ἐπὶ ταῖς συμφοραῖς ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις δακρύειν ἀξιοῦσιν, ἀληθινὰ δὲ πάθη πολλὰ καὶ δεινὰ γιγνόμενα διὰ τὸν πόλεμον ἐφορῶντες τοσούτου δέουσιν ἐλεεῖν ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ τοῖς ἀλλήλων κακοῖς ἢ τοῖς αὑτῶν ἰδίοις ἀγαθοῖς.*
169 *Ἴσως δ' ἂν καὶ τῆς ἐμῆς εὐηθείας πολλοὶ καταγελάσειαν, εἰ δυστυχίας ἀνδρῶν ὀδυροίμην ἐν τοῖς τοιούτοις καιροῖς, ἐν οἷς Ἰταλία μὲν ἀνάστατος γέγονεν, Σικελία δὲ καταδεδούλωται, τοσαῦται δὲ πόλεις τοῖς βαρβάροις ἐκδέδονται, τὰ δὲ λοιπὰ μέρη τῶν Ἑλλήνων ἐν τοῖς μεγίστοις κινδύνοις ἐστίν.*

170 *Θαυμάζω δὲ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, εἰ προσήκειν αὐτοῖς ἡγοῦνται μέγα φρονεῖν, μηδὲν πώποθ' ὑπὲρ τηλικούτων πραγμάτων μήτ' εἰπεῖν μήτ' ἐνθυμηθῆναι δυνηθέντες. Ἐχρῆν γὰρ αὐτούς, εἴπερ ἦσαν ἄξιοι τῆς παρούσης δόξης, ἁπάντων ἀφεμένους τῶν ἄλλων περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους εἰσηγεῖσθαι*
171 *καὶ συμβουλεύειν. Τυχὸν μὲν γὰρ ἄν τι συνεπέραναν· εἰ δὲ καὶ προαπεῖπον, ἀλλ' οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον ἂν κατέλιπον. Νῦν δ' οἱ μὲν ἐν ταῖς μεγίσταις δόξαις ὄντες ἐπὶ μικροῖς σπουδάζουσιν, ἡμῖν δὲ τοῖς τῶν πολιτῶν ἐξεστηκόσιν περὶ τηλικούτων πραγμάτων συμβουλεύειν παραλελοίπασιν.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποιό κακὸ δὲν ἔπεσε ἀπάνω τους! Πάντα εἶναι πολλὲς οἱ συμφορὲς στὸ φυσικὸ τοῦ ἀνθρώπου, ἐπινοήσαμε καὶ ἐμεῖς ἀκόμα περισσότερες ἀπὸ τὶς ἀναπόφευκτες: Δημιουργήσαμε στὸν ἴδιο τὸν ἑαυτό 168
μας πολέμους καὶ ἐπαναστάσεις, ὥστε ἄλλοι νὰ χάνωνται παράνομα μέσα στὴν ἴδια τους τὴ χώρα, ἄλλοι σὲ ξένους τόπους νὰ περιφέρωνται ἄθλιοι μαζὶ μὲ τὰ παιδιὰ καὶ τὶς γυναῖκες τους, τέλος πολλοὶ ἀπὸ τὴ φτώχια καὶ τὴ στέρηση νὰ ὑποχρεώνωνται νὰ ὑπηρετοῦνε τὸν ἐχθρὸ καὶ νὰ πεθαίνουν πολεμώντας μὲ τοὺς φίλους. Γιὰ τὴν κατάσταση αὐτὴ κανεὶς ποτὲ δὲν ἀγανάχτησε! Γιὰ τὰ φανταστικὰ βέβαια δράματα, ποὺ συνθέτουν καὶ παρουσιάζουν οἱ τραγικοὶ ποιητές, ὅλοι νιώθουν τὴν ὑποχρέωση νὰ συγκινοῦνται καὶ νὰ κλαῖν· ὅταν ὅμως βλέπουν μπροστὰ στὰ μάτια τους νὰ διαδραματίζωνται τραγωδίες ἀληθινές, φριχτὲς καὶ ἀναρίθμητες, αὐτὲς ποὺ φέρνει τοῦ πολέμου ἡ κατάρα, τόσο μακριὰ βρίσκονται ἀπὸ τὸ νὰ νιώσουν λύπη, ὥστε πιότερο χαίρονται γιὰ τὸ κακὸ ποὺ προξενεῖ ὁ ἕνας στὸν ἄλλο παρὰ γιὰ τὴν προσωπική τους εὐτυχία.

Δὲν ἀποκλείεται ὡστόσο καὶ νὰ γελάσουν μερικοὶ μὲ τὴν ἀφέλειά 169
μου, ποὺ κάθομαι ἐδῶ πέρα καὶ ὀδύρομαι γιὰ τὴ δυστυχία ἀτομικῶν περιπτώσεων σὲ τέτοιες περιστάσεις, ὅπου ἡ Ἰταλία ὅλη ἔχει γίνει ἄνω κάτω[123], ἡ Σικελία ὑποδουλώθηκε[124], τόσες πόλεις ἔχουν παραδοθῆ στὸ βάρβαρο[125] καὶ ὅλη ἡ ὑπόλοιπη Ἑλλάδα βρίσκεται πιὰ μπροστὰ σὲ ἔσχατους κινδύνους.

Ἀπορῶ μάλιστα καὶ μὲ τὴ στάση ποὺ κρατοῦν οἱ διάφοροι ἡγέ- 170
τες στὶς πόλεις τὶς ἑλληνικές. Νομίζουν πὼς ἔχουν τὸ δικαίωμα νὰ νιώθουν περηφάνια, τὴ στιγμὴ ποὺ ποτὲ δὲν μπόρεσαν οὔτε νὰ ποῦν, μὰ οὔτε καὶ νὰ στοχαστοῦν τίποτα γιὰ τὸ θέμα αὐτὸ ποὺ ἔχει τόση σημασία. Ἔπρεπε δηλαδὴ αὐτοί, ἂν ἄξιζαν πραγματικὰ τὴ φήμη ποὺ ἔχουν τώρα, νὰ ἀφήσουν κατὰ μέρος κάθε ἄλλο ζήτημα καὶ νὰ καταπιαστοῦν νὰ δώσουν γνώμη μονάχα γιὰ τὸν πόλεμο μὲ τοὺς βαρβάρους.

Δὲν ἀποκλείεται νὰ ἔφερναν κάποιο θετικὸ ἀποτέλεσμα· καὶ στὴν 171
περίπτωση ὅμως ποὺ θὰ ἦταν ὑποχρεωμένοι νὰ ἀπογοητευθοῦν, θὰ ἄφηναν τὰ λόγια τους χρησμοὺς γιὰ τὶς μελλούμενες γενιές. Τώρα ὅμως αὐτοὶ ποὺ ἔχουν τὴ δόξα τὴ μεγάλη καταπιάνονται περισπούδαστα μὲ τὰ ἀσήμαντα ζητήματα καὶ ἀφήνουνε σ' ἐμᾶς, ποὺ δὲν ἔχομε σχέση μὲ τὴν πολιτική, τὴ φροντίδα νὰ δίνουμε συμβουλὲς γιὰ θέματα μὲ τόση σπουδαιότητα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

172 *Οὐ μὴν ἀλλ᾽ ὅσῳ μικροψυχότεροι τυγχάνουσιν ὄντες οἱ προεστῶτες ἡμῶν, τοσούτῳ τοὺς ἄλλους ἐρρωμενεστέρως δεῖ σκοπεῖν, ὅπως ἀπαλλαγησόμεθα τῆς παρούσης ἔχθρας. Νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας· οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ᾽ ἀναβαλλόμεθα καὶ περιμένομεν τοὺς καιροὺς ἐν*
173 *οἷς ἀνήκεστόν τι κακὸν ἀλλήλους ἐργάσασθαι δυνησόμεθα. Δεῖ δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκποδὼν ποιησαμένους ἐκείνοις τοῖς ἔργοις ἐπιχειρεῖν ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσομεν καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. Ἔστι δ᾽ ἁπλοῦς καὶ ῥάδιος ὁ λόγος ὁ περὶ τούτων· οὔτε γὰρ εἰρήνην οἷόν τε βεβαίαν ἀγαγεῖν ἢν μὴ κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν, οὔθ᾽ ὁμονοῆσαι τοὺς Ἕλληνας πρὶν ἂν καὶ τὰς ὠφελείας ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς*
174 *αὐτοὺς ποιησώμεθα. Τούτων δὲ γενομένων καὶ τῆς ἀπορίας τῆς περὶ τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει καὶ τὰς συγγενείας εἰς ἔχθραν προάγει καὶ πάντας ἀνθρώπους εἰς πολέμους καὶ στάσεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ ὁμονοήσομεν καὶ τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς ἕξομεν. Ὧν ἕνεκα περὶ παντὸς ποιητέον ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν, ὡς μόνον ἂν τοῦτ᾽ ἀγαθὸν ἀπολαύσαιμεν τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ ταῖς ἐμπειρίαις ταῖς ἐκ τούτων γεγενημέναις πρὸς τὸν βάρβαρον καταχρήσασθαι δόξειεν ἡμῖν.*

175 *Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν, ἀλλ᾽ οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν. Δι᾽ ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων βασιλεῖ χάριν ἴσασιν, ὡς δι᾽ ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δ᾽ ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐπικαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσι τῆς εἰρήνης, ὡς ὑπὸ τούτων δουλεύειν ἠναγκασμέναι. Καί-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀλλὰ ὅσο πιὸ μικρόψυχοι εἶναι οἱ ἀρχηγοί μας, τόσο πιὸ σοβαρὰ καὶ πιὸ ἀποφασιστικὰ πρέπει νὰ ἐξετάζουν οἱ ἄλλοι τὸν τρόπο ποὺ θὰ ἀπαλλαγοῦμε ἀπὸ τὶς ἔχθρες ποὺ μᾶς βασανίζουν τώρα. Γιατὶ τώρα βέβαια μάταια κάνομε συνθῆκες γιὰ εἰρήνη! Στὴν πραγματικότητα δὲ ματαιώνομε ὁριστικὰ τὸν πόλεμο· μόνο τὸν ἀναβάλλομε, καὶ περιμένομε τὴν εὐκαιρία τὴν καλή, ποὺ θὰ ἔχουμε τὴ δύναμη νὰ καταφέρωμε ὁ ἕνας στὸν ἄλλο κάποιο χτύπημα ἀνεπανόρθωτο!... 172

Ὅμως εἶναι ἀνάγκη νὰ βγάλουμε ἀπὸ τὴ μέση τὰ σχέδια τὰ ὕπουλα καὶ νὰ καταπιαστοῦμε ἐπιτέλους μονάχα μὲ τὰ ἔργα ποὺ θὰ μᾶς ἐπιτρέψουνε νὰ ζοῦμε μὲς στὶς πόλεις μας μὲ ἀσφάλεια μεγαλύτερη καὶ νὰ ἔχωμε ἀνάμεσά μας ἐμπιστοσύνη περισσότερη. Βέβαια νὰ ἀναπτυχθῇ τὸ θέμα αὐτὸ εἶναι ἁπλὸ καὶ εὔκολο: Δηλαδὴ εἶναι ἀδύνατο νὰ ἐξασφαλίσωμε μιὰ σίγουρη εἰρήνη, ἅμα δὲν πολεμήσωμε ὅλοι μαζὶ ὁμόφωνα τοὺς Πέρσες· ἀδύνατο νὰ ὁμονοήσουν οἱ Ἕλληνες, προτοῦ πεισθοῦν καὶ τὶς ὠφέλειες ὅλοι μαζὶ καὶ ἀπὸ τὸν ἴδιο ἐχθρὸ νὰ ἐπιζητοῦνε καὶ τοὺς πολέμους πάλι ὅλοι μαζὶ καὶ μὲ τὸν ἴδιο ἀντίπαλο νὰ κάνουν. 173

Καὶ ὅταν γίνουν ὅλα αὐτὰ καὶ λείψῃ ἀπὸ τὴ μέση ἡ φτώχια ἡ φοβερή, ποὺ καταστρέφει τὶς φιλίες καὶ ὁδηγεῖ τοὺς συγγενεῖς σὲ ἀμάχες, ἀναστατώνει ὅλους τοὺς ἀνθρώπους καὶ φέρνει τοὺς πολέμους, δὲν εἶναι δυνατὸ νὰ μὴν ὁμονοήσωμε καὶ νὰ μὴ νιώθωμε ἀγάπη ἀληθινὴ ὁ ἕνας γιὰ τὸν ἄλλο. Γιὰ ὅλους αὐτοὺς τοὺς λόγους πρέπει νὰ κάνωμε τὸ πᾶν, γιὰ νὰ μεταφερθῇ τὸ γρηγορώτερο ἀπὸ δῶ ὁ πόλεμος στὸ χῶρο τῆς Ἀσίας. Εἶναι τὸ μόνο ἀγαθὸ ποὺ θὰ ἦταν δυνατὸ ἴσως νὰ βγάλωμε ἀπὸ τοὺς ἀνόσιους πολέμους μεταξύ μας, ἂν θὰ τὸ ἀποφασίζαμε ἐπιτέλους νὰ ἐκμεταλλευτοῦμε ἐνάντια στοὺς βαρβάρους γιὰ τὸ δικό μας τὸ καλὸ τὴν πικρὴ πείρα ποὺ μᾶς ἐξασφάλισαν ἐδῶ. 174

Τὸ χρέος νὰ καταλυθῇ ἡ Εἰρήνη τοῦ Ἀνταλκίδα.

Ἀλλά, θὰ πῆτε, θὰ πρέπῃ ἴσως ἐξαιτίας τῆς συνθήκης[126] νὰ συγκρατηθοῦμε, νὰ μὴ βιαστοῦμε καὶ νὰ μὴν κάνωμε τὴν ἐκστρατεία νωρίτερα ἀπὸ τὴν ὥρα της. Ἄλλωστε οἱ πόλεις ποὺ ἀπόχτησαν αὐτονομία μὲ τὴ συνθήκη αὐτὴ νιώθουν εὐγνωμοσύνη γιὰ τὸ βασιλιά, γιατὶ σ' αὐτὸν χρωστοῦν αὐτὴ τὴν αὐτονομία· καὶ ὅσες πάλιν ἔχουν παραδοθῆ στὰ χέρια τῶν βαρβάρων δὲν τὰ βάζουν παρὰ μὲ τοὺς Σπαρτιάτες πρῶτα καὶ ὕστερα μὲ τοὺς ἄλλους ποὺ ὑπόγραψαν μαζί τους τοὺς ὅρους τῆς εἰρήνης, γιατὶ πιστεύουν πὼς αὐτοὶ εἶναι ἡ αἰτία ποὺ τοὺς ἀνάγκα- 175

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοι πῶς οὐ χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας, ἐξ ὧν τοιαύτη δόξα γέγονεν, ὡς ὁ μὲν βάρβαρος κήδεται τῆς Ἑλλάδος καὶ φύλαξ τῆς εἰρήνης ἐστίν, ἡμῶν δὲ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ κακῶς ποιοῦν-
176 *τες αὐτήν; Ὃ δὲ πάντων καταγελαστότατον, ὅτι τῶν γεγραμμένων ἐν ταῖς ὁμολογίαις τὰ χείριστα τυγχάνομεν διαφυλάττοντες. Ἃ μὲν γὰρ αὐτονόμους ἀφίησι τάς τε νήσους καὶ τὰς πόλεις τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται καὶ μάτην ἐν ταῖς στήλαις ἐστίν· ἃ δ' αἰσχύνην ἡμῖν φέρει καὶ πολλοὺς τῶν συμμάχων ἐκδέδωκεν, ταῦτα δὲ κατὰ χώραν μένει καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν, ἃ χρῆν ἀναιρεῖν καὶ μηδὲ μίαν ἐᾶν ἡμέραν, νομίζοντας προστάγματα καὶ μὴ συνθήκας εἶναι. Τίς γὰρ οὐκ οἶδεν, ὅτι συνθῆκαι μέν εἰσιν, αἵτινες ἂν ἴσως καὶ κοινῶς ἀμφοτέροις ἔχωσιν, προστάγματα δὲ τὰ τοὺς ἑτέ-*
177 *ρους ἐλαττοῦντα παρὰ τὸ δίκαιον; Διὸ καὶ τῶν πρεσβευσάντων ταύτην τὴν εἰρήνην δικαίως ἂν κατηγοροῖμεν, ὅτι πεμφθέντες ὑπὸ τῶν Ἑλλήνων ὑπὲρ τῶν βαρβάρων ἐποιήσαντο τὰς συνθήκας. Ἐχρῆν γὰρ αὐτούς, εἴτ' ἐδόκει τὴν αὑτῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρχειν, εἴτε τούτων κρατεῖν ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγχάνομεν ἔχοντες, ἕν τι τούτων ὁρισαμένους καὶ κοινὸν τὸ δίκαιον ποιη-*
178 *σαμένους, οὕτω συγγράφεσθαι περὶ αὐτῶν. Νῦν δὲ τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τῇ Λακεδαιμονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὥσπερ ὑπὲρ ἐκείνου πολεμησάντων ἡμῶν ἢ τῆς μὲν Περσῶν ἀρχῆς πάλαι καθεστηκυίας, ἡμῶν δ' ἄρτι τὰς πόλεις κατοικούντων, ἀλλ' οὐκ ἐκείνων μὲν νεωστὶ ταύτην τὴν τιμὴν ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς Ἕλ-*
179 *λησι δυναστευόντων. Οἶμαι δ' ἐκείνως εἰπὼν μᾶλλον δηλώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημένην καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σε νὰ γίνουν οἱ σκλάβοι τῶν βαρβάρων. Μὰ ἕνας ἀκόμα λόγος παραπάνω νὰ διαλύσωμε ἀμέσως τὴ συμφωνία αὐτή, ποὺ δημιούργησε μιὰ τέτοια γνώμη ἀπαράδεχτη : Ὅτι δῆθεν ὁ βάρβαρος νοιάζεται τὴν Ἑλλάδα καὶ προστατεύει τὴν εἰρήνη[127], ἐνῶ μερικοὶ ἀπὸ μᾶς εἶναι αὐτοὶ ποὺ τὴ λυμαίνονται καὶ τὴν καταστρέφουν.

Καὶ τὸ πιὸ κωμικὸ ἀπὸ ὅλα, ἀπὸ τὰ ἄρθρα τῆς συνθήκης περισσότερο σεβόμαστε ἐκεῖνα ποὺ εἶναι τὰ χειρότερα γιὰ μᾶς: Αὐτὰ ποὺ δίνουν στὰ νησιά μας καὶ στὶς πόλεις τῆς Εὐρώπης τὴν αὐτονομία ἀπὸ πολὺν καιρὸ τώρα καταπατήθηκαν[128] καὶ ἄδικα ἀναφέρονται μέσα στὶς στῆλες[129] τῆς συνθήκης· ἐκεῖνα ὅμως ποὺ εἶναι ἡ ντροπή μας καὶ ποὺ πολλοὺς ἀπὸ τοὺς συμμάχους μας ἔχουν ρίξει στὴ σκλαβιά, μένουν στὴ θέση τους ἀκλόνητα καὶ τὰ σεβόμαστε ἀπόλυτα· καὶ ὅμως θὰ ἔπρεπε νὰ τὰ καταστρέψωμε ἀμέσως, νὰ μὴν τὰ ἀφήσωμε οὔτε μιὰ μέρα, νομίζοντάς τα διαταγὲς τοῦ βασιλιᾶ καὶ ὄχι ἄρθρα ἰσότιμης συνθήκης. Ποιός τάχα δὲν τὸ ξέρει ὅτι συνθήκη ἔχομε, ὅταν ὑπάρχη ἀπόλυτη ἰσότητα[130] καὶ ἀμεροληψία καὶ γιὰ τὶς δυὸ μερίδες ποὺ συμβάλλονται, καὶ διαταγή, ὅταν τὸ ἕνα μέρος ἀπὸ τὰ δυὸ ἄδικα μειονεκτῆ γιὰ ὄφελος τοῦ ἄλλου; 176

Γι' αὐτὸ τὸ λόγο ἀκριβῶς ἔχομε ὅλο τὸ δικαίωμα νὰ καταγγείλωμε τοὺς πρέσβεις ποὺ διαπραγματεύτηκαν αὐτὴ τὴν εἰρήνη, ἐπειδή, ἐνῶ τοὺς ἔστειλαν οἱ Ἕλληνες, ὑπόγραψαν συνθήκη ποὺ μόνο τοὺς βαρβάρους εὐνοεῖ. Ὡστόσο, εἴτε πίστευαν πὼς ὁ καθένας ἔπρεπε νὰ διαφεντεύη μόνο τὴ δικιά του πόλη εἴτε νὰ ἐξουσιάζη καὶ τὶς χῶρες ποὺ καταχτήθηκαν στὸν πόλεμο ἢ καὶ νὰ ἀρκεστῆ στὶς κτήσεις ποὺ εἶχε στὰ χρόνια τῆς εἰρήνης, αὐτοὶ εἴχανε χρέος νὰ ὁρίσουν μιὰ ἀπὸ τὶς τρεῖς αὐτὲς λύσεις καὶ νὰ ὑπογράψουν τὴ συνθήκη μὲ πνεῦμα ἀπόλυτης ἰσοτιμίας καὶ δικαιοσύνης. 177

Τώρα ὅμως τόσο στὴν πόλη τὴ δικιά μας ὅσο καὶ στῶν Σπαρτιατῶν δὲν ἀναγνώρισαν καμιὰ τιμή· ἀντίθετα ὅρισαν τὸ βάρβαρο δεσπότη ὅλης τῆς Ἀσίας, σὰ νὰ εἴχαμε πολεμήσει ἐμεῖς γιὰ λογαριασμό του ἢ σὰ νὰ ἤτανε πολὺ παλιὰ ἡ ἐξουσία τῶν Περσῶν καὶ ἐμεῖς μόλις ποὺ κατοικήσαμε στὶς πόλεις μας· σὰ νὰ μὴν πῆραν τὴν τιμὴ αὐτὴ τώρα στὰ τελευταῖα καὶ σὰ νὰ μὴν εἴχαμε ἐμεῖς ἀπὸ τὰ πανάρχαια χρόνια τὴν ἐξουσία στὴν Ἑλλάδα. 178

Ἔχω μάλιστα τὴ γνώμη ὅτι μὲ αὐτὰ ποὺ τώρα θὰ σᾶς πῶ θὰ 179
ἀποδείξω καθαρὰ τόσο τὴν προσβολὴ ποὺ ἔγινε σ' ἐμᾶς ὅσο καὶ τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης καὶ τῆς μὲν Ἀσίας, τῆς δ' Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος, ἀλλ'
180 *οὐ πρὸς ἀνθρώπους τὰς συνθήκας ποιούμενος. Καὶ ταύτας ἡμᾶς ἠνάγκασεν ἐν στήλαις λιθίναις ἀναγράψαντας ἐν τοῖς κοινοῖς τῶν ἱερῶν καταθεῖναι, πολὺ κάλλιον τρόπαιον τῶν ἐν ταῖς μάχαις γιγνομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν ἔργων καὶ μιᾶς τύχης ἐστίν, αὗται δ' ὑπὲρ ἅπαντος τοῦ πολέμου καὶ καθ' ὅλης τῆς Ἑλλάδος ἑστήκασιν.*

181 *Ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι καὶ σκοπεῖν ὅπως τῶν τε γεγενημένων δίκην ληψόμεθα καὶ τὰ μέλλοντα διορθωσόμεθα. Καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας, καὶ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ γενομένους μιᾶς γυναικὸς ἁρπασθείσης οὕτως ἅπαντας συνοργισθῆναι τοῖς ἀδικηθεῖσιν ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας, πρὶν τὴν πόλιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαν-*
182 *τος ἐξαμαρτεῖν, ἡμᾶς δ' ὅλης τῆς Ἑλλάδος ὑβριζομένης μηδεμίαν ποιήσασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐχῆς ἄξια διαπράξασθαι. Μόνος γὰρ οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστίν, θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς, ἀμφοτέροις δὲ συμφέρων καὶ τοῖς ἡσυχίαν ἄγειν καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. Ἐξείη γὰρ ἂν τοῖς μὲν ἀδεῶς τὰ σφέτερ' αὐτῶν καρποῦσθαι, τοῖς δ' ἐκ τῶν ἀλλοτρίων μεγάλους πλούτους κατακτήσασθαι.*

183 *Πολλαχῇ δ' ἄν τις λογιζόμενος εὕροι ταύτας τὰς πράξεις μά-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλεονεκτήματα ποὺ ἀποκόμισε ὁ Πέρσης βασιλιάς. Δηλαδὴ εἶναι γνωστὸ πὼς ὅλη ἡ γῆ ποὺ σκέπει ὁ οὐρανὸς εἶναι μοιρασμένη σὲ δυὸ μεγάλα τμήματα[131] — τὸ ἕνα τὸ λὲν Ἀσία, τὸ ἄλλο Εὐρώπη. Ὁ βασιλιὰς μὲ τὴ γνωστὴ συνθήκη πῆρε στὴν ἐξουσία του τὸ μισὸ μέρος ὁλόκληρης τῆς γῆς, σὰ νὰ ἔκαμνε τὴ μοιρασιὰ τοῦ κόσμου μὲ τὸ Δία[132]
καὶ ὄχι ἰσότιμη συνθήκη μὲ ἀνθρώπους. Καὶ ὕστερα αὐτὴ τὴ θλιβερὴ 180
συνθήκη μᾶς ὑποχρέωσε νὰ τὴ χαράξουμε σὲ στῆλες λίθινες καὶ νὰ τὴν καταθέσουμε στὰ πανελλήνια ἱερά, σὰν τρόπαιο πολὺ λαμπρότερο γι' αὐτὸν ἀπὸ ὅσα στήνονται στὶς μάχες. Καὶ πράγματι, αὐτὰ τὰ τελευταῖα εἶναι γιὰ κατορθώματα περιορισμένης σημασίας καὶ ἀποτελέσματα μιᾶς ἴσως τυχερῆς στιγμῆς· οἱ στῆλες ὅμως προβάλλουν τὸ ἀποτέλεσμα ἑνὸς πολέμου μακροχρόνιου σὲ βάρος ὅλης τῆς Ἑλλάδας.

ΕΠΙΛΟΓΟΣ

Ὑλικὰ καὶ ἠθικὰ ὀφέλη ἀπὸ τὴν ἐκστρατεία.

Γιὰ ὅλα αὐτὰ θὰ πρέπῃ νὰ μᾶς πιάσῃ ἡ ἀγανάκτηση καὶ νὰ κοι- 181
τάξωμε νὰ βροῦμε τρόπο νὰ πάρωμε ἐκδίκηση γιὰ ὅσα πάθαμε στὸ παρελθὸν καὶ νὰ ταχτοποιήσωμε τὰ πράγματα στὸ μέλλον. Στὸ κάτω κάτω εἶναι ντροπὴ σὰν ἰδιώτης ὁ καθένας νὰ ἔχωμε στὰ σπίτια μας γιὰ δούλους τοὺς βαρβάρους, καὶ ἀπὸ τὴν ἄλλη ἐπίσημα σὰν κράτος νὰ ἀφήνωμε τόσους ἀπὸ τοὺς συμμάχους μας νὰ εἶναι δοῦλοι ἐκείνων· εἶναι ντροπὴ αὐτοὶ ποὺ ζήσανε στὰ χρόνια τοῦ Τρωικοῦ πολέμου, γιὰ τὸ χατήρι μιᾶς γυναίκας ποὺ τοὺς κλέψανε, νὰ νιώσουν τόσο ὅλοι μαζὶ τὴν προσβολὴ ποὺ ἔγινε, ὥστε νὰ μὴν τὸν σταματήσουνε τὸν πόλεμο, παρὰ μονάχα ἀφοῦ κατάστρεψαν ἀπ' τὰ θεμέλια τὴν πόλη αὐτοῦ
ποὺ τόλμησε νὰ τοὺς προσβάλῃ, καὶ ἀπὸ τὸ ἄλλο μέρος ἐμεῖς σήμερα, 182
